eul_wid: mlw-aq

*Ἀριστοφάνους Σχόλια* · Aristophanes Scholia

# Scholia-Clouds

*Σχόλια εἰς Νεφέλας*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

sch eust nub t EUSTATHIUS ὥσπερ λέγομεν “βασιλειᾷ τις” ἀντὶ τοῦ βασιλεὺς γενέσθαι ἐφίεται καὶ “πατριαρχᾷ” ἀντὶ τοῦ πατριάρχης γενέσθαι ἐφίεται, οὕτως καὶ τοῦτο.

sch eust nub 189 φροντίζω τὸ “φροντίδα ἔχω” κοινῶς γενικῇ, φροντίζω δὲ τὸ “σκοπῶ” αἰτιατικῇ, ὡς ἐνταῦθα· καὶ Λιβάνιος· “ ὡς τὰ αὐτὰ ἐφροντίζομε ν” . τελῶ λέγεται τὸ πληρῶ, ἀφ’ οὗ καὶ τέλος καὶ τελευτὴ ὁ θάνατος· τελῶ καὶ τὸ γίνομαι, τελῶ καὶ τὸ μυοῦμαι καὶ τὸ διδάσκομαι, ὡς ἐνταῦθα.

sch eust nub 274 ὥσπερ εὐμένειαν μὲν δεσπότου πρὸς δοῦλον εἰώθαμεν λέγειν ἢ καθόλου μείζονος πρὸς ἐλάττω, εὔνοιαν δὲ δούλου πρὸς δεσπότην καὶ ἐλάττονος πρὸς μείζω, οὕτω οἶμαι δέον εἶναι τὸ μὲν ἐπακούειν μείζονος, τὸ δὲ ὑπακούειν ἐλάττονος· ὅθεν τὸ μὲν ἐπακούειν ἀπὸ ἐλάττονος πρὸς μείζω χρὴ λέγεσθαι, ὡς ἔχει τὸ “ ἐπακούσατε δεξάμεναι θυσία ν ” ἐνταῦθα καὶ ὡς τὸ “ ἐπακούσαι σου Κύριο ς” · τὸ δὲ ὑπακούειν ἀπὸ μείζονος πρὸς ἐλάττω, ὡς ἔχει κἀκεῖνο “ εὐφημεῖν χρὴ τὸν πρεσβύτην καὶ τῆς εὐχῆς ὑπακούει ν. ” καὶ τὸ ὑπήκοος δὲ ἐντεῦθεν γενόμενον σαφέστερον τὸν λόγον ποιεῖ, ἀλλὰ καὶ τὸ ἐπήκοος ἐκ τοῦ ἐπακούω. ὡς λέγεται τὸ κομᾶν μετὰ δοτικῆς, οὕτω καὶ τοῦτο, ὡς ἐν τῷ “ φυτὰ γὰρ θηλήσαντα νέοις ἐκόμησε πετήλοι ς” . [5]

sch eust nub 327 δοκεῖ δὲ ταῦτα ἀδολεσχίαν ἔχειν· τὸ γὰρ κολοκύνταις ταὐτὸν τῷ λήμαις ἴσαις κολοκύνταις· εἰ δὲ λημᾶν τὸ λήμην ἔχειν καὶ κομᾶν τὸ κόμην τρέφειν, κόμη δὲ ἐπὶ δένδρου τὰ φύλλα, περισσὸν τὸ εἰπόντα λημᾶν καὶ κομᾶν ἐπαγαγεῖν λήμαις καὶ πετήλοις· ἀλλ’ οὐκ ἔστιν. οὐ γὰρ ἁπλῶς λήμαις καὶ πετήλοις ἐπάγεται, ἀλλὰ λήμαις ἴσαις κολοκύνταις καὶ πετήλοις νέοις, ὃ τὴν ἀνάγκην ἐποίησε τῆς ἐπαναλήψεως. λήμη μὲν γὰρ καὶ κόμη παρῆν τῷ λημᾶν καὶ τῷ κομᾶν, κόμη δὲ νέα καὶ λήμη ἴση κολοκύντῃ οὐ συμπαρῆν. διὰ δὴ ταῦτα ἐπαναλαμβάνεται ἐκεῖνα καὶ ἔχουσιν οἱ λόγοι ὁμοίως τῷ “ ἀκόντισε δορὶ φαειν ῷ” . καὶ ἐν τούτῳ μέν ἐστιν ἡ δοτικὴ ὀργανική, ἐν ἐκείνοις δὲ συνυπακούεται ἡ ἐν ἡ λαμβανομένη περὶ τοῦ συνεργεῖν τ[οῦ] περιεχομένου. ὡς γὰρ λέγεταί τις ἐν ἐνδύμασι λαμπροῖς περιάγειν, καὶ “ ὁ Θεὸς ἔρχεται ἐν δόξ ῃ ” ἤγουν ἐνδεδυμένος δόξαν, (non plura). κένταυρος κατὰ μέν τινας ὁ φθείρων τὰς παρθένους, ἀπὸ τοῦ κεντῶ καὶ τοῦ ἅβρα ἡ παρθένος· τοῦτο δὲ οὐ δοκεῖ ⟦ ν ⟧ ἔχειν τὸ ἀληθές· ἅβρα γὰρ διὰ τὸ β ἐκφέρεται. [10]

sch eust nub 350 ἀλλὰ κατὰ τὸν Θεσσαλονίκης Εὐστάθιον κένταυρος λέγεται ὁ ἀρρενομανής, ἀπὸ τοῦ κεντῶ καὶ τοῦ ταῦρος· ταῦρος δέ ἐστι τὸ ἀπὸ τοῦ πρωκτοῦ μέχρι τῶν αἰδοίων διῆκον νεῦρον. ὁ δὲ Θεσσαλονίκης διὰ τοῦ ο μικροῦ νοεῖ τοῦτο καὶ λέγει· “μετὰ τῆς μὲν προθέσεως τὸ διέσχε καὶ

διασχὼν 〈εὕ〉 ρηται παρ’ Ὁμήρῳ, παρὰ δὲ τῷ κωμικῷ τούτῳ εὕρηται καὶ χωρὶς προθέσεως, ὡς ἐνταῦθα”.

sch eust nub 410 τὸ λακεῖν οὐχ ἁπλῶς τὸ φωνεῖν ἢ λαλεῖν δηλοῖ, ἀλλὰ ποιόν τινα ἦχον ἀψύχων σωμάτων ἡ λέξις δηλοῖ, οἷον ἐπὶ ἱματίων, ὀστέων καὶ τῶν τοιούτων Reg. τὸ κυδοιδοπᾶν γίνεται παρὰ τὸ κύδους καὶ λοιδορίας ὄπα καὶ φωνὴν ἔχειν· κυδοπᾶν καὶ ἀττικῷ διπλασιασμῷ προσθέσει τοῦ ι κυδοιδοπᾶν.

sch eust nub 616 κῦδος γὰρ ἀρσενικῶς μὲν ἡ λοιδορία, ἐξ οὗ καὶ τὸ “ κυδάζεται τοῖς πᾶσιν Ἀργείοις ὁμο ῦ ” παρὰ Σοφοκλεῖ, ἀντὶ τοῦ λοιδορεῖται. κῦδος δὲ οὐδετέρως ἡ δόξα, ἐξ οὗ καὶ κύδιστος ὁ ἐνδοξότατος. κατ’ ἐνόπλιον ὁ μετὰ δύο δακτύλους ἔχων σπονδεῖον κατὰ τὸ πάλιν καὶ πάλιν, οἷον “ ὡς φάτο δακρυχέω ν , τοῦ δ ’ ἔκλυε πότνια μήτη ρ” .

sch eust nub 651 λέγοιτο δ’ ἂν ἴσως κατ’ ἐνόπλιον διὰ τὸ πρέπειν μὲν ῥυθμὸν τοιοῦτον καὶ τοῖς ἄλλοις κινουμένοις μετὰ συντονίας, ἐπὶ πλέον δὲ τοῖς μεθ’ ὅπλων σεμνῶς πηδῶσι καὶ πυρριχίζουσι. ὥσπερ ἀπὸ τοῦ αι θρηνητικοῦ ἐπιρρήματος αἰάζω τὸ θρηνῶ καὶ ἐξ αὐτοῦ αἰανὸς ὁ σκοτεινός, καὶ ἀπὸ τοῦ ω θρηνητικοῦ ἐπιρρήματος οἰμώζω καὶ ἐξ αὐτοῦ οἰμωγὴ ὁ θρῆνος, οὕτω καὶ ἀπὸ τοῦ οι θρηνητικοῦ ἐπιρρήματος οἴζω καὶ ἐξ αὐτοῦ οἰζύω, κατὰ διάλυσιν ὀϊζύω, καὶ ὀϊζυρός.

sch eust nub 663 ἀλεκτρυὼν καὶ ἐπὶ ἄρρενος καὶ θηλείας, ὡς καὶ Λιβάνιος· “ ἔθυσα καὶ ἀλεκτρυόνα τῶν τικτουσῶ ν” . ἀλέκτωρ δὲ Reg ἐπὶ μόνου τοῦ Reg ἄρρενος, καὶ Reg ἀλεκτορὶς δὲ Chis ἐπὶ μόνης τῆς Reg θηλείας. τὸ ἀπαιόλημα γίνεται ἀπὸ τοῦ αἰόλλω, ὃ δηλοῖ τὸ ταχέως καὶ δίκην ἀέλλης κινῶ· ἀφ’ οὗ Ὅμηρος “ αἰολοπώλου ς ” τοὺς Φρύγας καλεῖ, ἤγουν ταχυΐππους ἢ ποικίλως ἱππαζομένους.

sch eust nub 735 φροντίζω τὸ φροντίδα ἔχω κοινῶς μὲν γενικῇ συντάσσεται, ἀττικῶς δὲ μετὰ αἰτιατικῆς, ὡς ἐνταῦθα καὶ ἐν τῷ “βολβοὺς ζητεῖτε; μὴ τοῦτο φροντίζετε”. νηπύτιος ὁ μὴ φρονῶν, ἀλλ’ ἐστερημένος τοῦ πεπνύσθαι ἤτοι τοῦ φρονεῖν· ἀφ’ οὗ καὶ τὸ νήπιος συγκέκοπται, ὅτε ἐπὶ ἄφρονος λέγεται.

sch eust nub 871 τὸ καταρῶμαι κοινῶς μὲν αἰτιατικῇ, ὡς τὸ “ τὴν συκῆν ὁ Κύριος οὐχ ἁπλῶς κατηράσατ ο” · ἀττικῶς δὲ δοτικῇ, ὡς ἐνταῦθα. τῆς ἁμάξης ὑποκοριστικὸν ἡ ἁμαξίς, ὃ δηλοῖ μικρὸν ἁμάξιον ποιούμενον εἰς παίγνιον τοῖς παισίν.

sch eust nub 880 ἅμαξα ἰωνικῶς μὲν ψιλοῦται, ἀττικῶς δὲ δασύνεται. ἀπηνὴς κοινῶς μὲν ὁ σκληρός, ἀττικῶς δὲ ἀπηνὲς τὸ ἁπλῶς ἄπο αἴνου ἔλεγον ἤτοι τὸ ἀπαίδευτον, ὡς ἐνταῦθα ὁ κωμικός.

sch eust nub 1050 ἦσαν γὰρ καὶ ψυχρὰ λουτρά, οἷς οἱ ἥρωες “ ἱδρῶ ἀπεψύχοντ ο” , ὥς φησιν Ὅμηρος· ὧν πρὸς ἀντιδιαστολὴν θερμὰ λουτρὰ ἐλέγοντο, ἃ καὶ “ἡράκλεια λουτρά” ἡ παροιμία ἔλεγεν. ἐξ οὗ καὶ παροιμία “ὁ Πηλεὺς τὴν μάχαιραν”, ὡς διὰ σωφροσύνην λαβὼν αὐτὴν θεόθεν.

sch eust nub 1203 ἔστιν ὅτε ὁ ἀριθμὸς καὶ ἐπὶ οὐδαμινότητος λαμβάνεται, ὡς ἐνταῦθα “ ἀριθμὸς ἄλλω ς ” ἤτοι πλῆθος μόνον καὶ αὐτὸ τοῦτο ποσότης ἐπινοουμένη, οὐ μὴν οὐσίαι τινὲς ἀριθμούμεναι. λέγεται καὶ ἐπὶ ἐπαίνου, ὡς ἐπὶ τοῦ “ ἐναρίθμιο ς ” ἀντὶ τοῦ ἐν ἀριθμῷ καὶ λόγῳ κείμενος. τοῦ “Στρεψιάδης” ἡ κλητικὴ “ὦ Στρεψιάδη” ἐστίν· τοῦ παιγνίου δὲ χάριν ἐκφέρ[εται] “ Στρεψίαδε ς ” παρὰ τῷ κωμικῷ.

sch eust nub 1221 καλοῦμαι παθητικὸν παρὰ τοῖς ὕστερον Ἀττικοῖς δικαστικὴ λέξις ἐστίν, ὡς δηλοῖ καὶ τὸ παρόν. ψαρὸς ἢ ὁ ποικίλος κατὰ τοὺς ψᾶρας, ἢ ὁ ταχύς, οἱονεὶ ψαυρὸς καὶ ψαρός, ὁ ψαύων καὶ πλησιάζων καὶ ἰσοδυναμῶν τῷ τάχει ταῖς αὔραις καὶ ταῖς πνοαῖς.

sch eust nub 1384 κάκη οὐ μόνον ἡ κακία κατὰ τοὺς περὶ Πλάτωνα, ἀλλὰ καὶ ἡ δειλία, ἐξ οὗ κακὸς ὁ δειλὸς καὶ κακίζεσθαι τὸ δειλιᾶν· ἐξ αὐτοῦ δὲ καὶ τὸ “ κακκὰ ν ” συνήθως ἐπὶ παίδων, ἐπεὶ καὶ τοῖς δειλιῶσιν ἕπεται τοιοῦτόν τι πάσχειν, ὃ καὶ ἐξιδίειν σεμνῶς ἡ κωμῳδία φησίν. ΤΟΥ ΑΥΤΟΥ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ΣΟΦΩΤΑΤΟΥ ΜΑΓΙΣΤΡΟΥ ΣΥΝΟΨΙΣ ΤΗΣ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΥΠΟΘΕΣΕΩΣ Tr 2 Ἄνυτος καὶ Μέλητος Σωκράτει τῷ Σωφρονίσκου βασκήναντες καὶ αὐτὸν μὴ δυνάμενοι βλάψαι ἀργύριον ἱκανὸν Ἀριστοφάνει δεδώκασιν, ἵνα δράμα Th 2 [ δρᾶμα Tr 1/2 ] κατ’ αὐτοῦ συστήσηται. [1]

arg nub 1a (t) καὶ ὃς πεισθεὶς γέροντά τινα Στρεψιάδην καλούμενον ἐπλάσατο ὑπὸ χρεῶν πιεζόμενον, ἃ δὴ ἀνηλώκει περὶ τὴν τοῦ παιδὸς Φειδιππίδου ἱπποτροφίαν. οὕτω δὲ τούτων ἐχόντων, μὴ ἔχων ὁ Στρεψιάδης, τί ποιήσει τὰ χρέα, βουλεύεται προσελθεῖν Th 2 Tr 1 [ προσαγαγεῖν Tr 2 ] τῷ Σωκράτει τὸν τούτου παῖδα, ἵνα παρ’ αὐτοῦ τὸν ἄδικον μάθῃ λόγον καὶ οὕτω τοὺς δανειστὰς ἀποκρούσηται. Φειδιππίδης μὲν οὖν, πολλὰ δεηθέντος τοῦ πατρὸς προσελθεῖν, οὐκ ἐπείσθη· ἀποτυχὼν δὲ ὁ πρεσβύτης τῆς ἐπ’ ἐκεῖνον ἐλπίδος καὶ οὐκ ἔχων, ὅστις καὶ γένηται, εἰς δεύτερον εἶδε πλοῦν. οὐδὲν γὰρ τῆς ἡλικίας φροντίσας οὐδ’ ἐνθυμηθείς, εἴ τισιν ἄτοπος δόξειεν, ἀνὴρ “ἐν γήραος οὐδῷ” μανθάνειν καθάπερ κομιδῇ νέος ἀρχόμενος, ἀλλ’ εἰς ἓν ἀφεωρακὼς μόνον ἐκεῖνο, ἐὰν ἄρα οἷός τε γένηται τοὺς δανειστὰς διὰ πειθοῦς ἀποστερῆσαι τὰ χρήματα, αὐτὸς πρόσεισι τῷ Σωκράτει. οὐκ ἔχων δὲ ὑπηρετοῦντα τῇ βουλήσει τὸν νοῦν, ἀλλὰ τοιοῦτος ὢν οἷς ἐμάνθανεν, οἷος καὶ πρὶν τῆς παιδείας ἐφῆφθαι, αὐτὸς μὲν ἀπέγνω παιδεύεσθαι, προσελθὼν δὲ τῷ παιδὶ καὶ αὖθις πολλαῖς πέπεικε ταῖς δεήσεσιν ἕνα τῶν Σωκράτους ὁμιλητῶν γεγενῆσθαι. ὁ δὲ καὶ γέγονε καὶ μεμάθηκεν. συνίσταται δὲ τὸ δράμα Th 2 [ δρᾶμα Tr 1/2 ] ἐκ χοροῦ Νεφελῶν· ἔχει δὲ κατηγορίαν τοῦ Σωκράτους, ὅτι τοὺς συνήθεις θεοὺς ἀφεὶς καινὰ ἐνόμιζε δαιμόνια, Ἀέρα, Νεφέλας καὶ τὰ τοιαῦτα. ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΔΡΑΜΑΤΟΣ Ἄνυτος καὶ Μέλιτος . [1]

arg nub 1b (t) .. (a 2) δράμα [ δράματα b ] ... ( a 3) ὃς καὶ [ καὶ ὃς b ] ... ( a 6) βούλεται προσαγαγεῖν ... (a 7) τὸν παῖδα Φειδιππίδην b ... ( a 9) εἰσελθεῖν ... (a 10) δεύτερον, ὅ φασιν, εἶδε ... (a 11) δόξειεν ὁ ἀνὴρ ... (a 13) γένηται οἷός τε ... (a 14) τὸν νοῦν τῇ βουλήσει ... (a 15—16) τοιοῦτον ἐφ’ οἷς ἐμάνθανεν, οἷον καὶ πρὶν διδαχθῆναι, αὐτὸς μὲν ἀπέγνω μανθάνειν [ παιδεύεσθαι b ] ... ( a 17) γενέσθαι ... (a 19) συνίσταται δὲ l Chalc τὸ δράμα ... (a 21) καὶ τὰ τοιαῦτα. ΥΠΟΘΕΣΙΣ ΝΕΦΕΛΩΝ ΤΟΥ ΑΡΙΣΤΟΦΑΝΟΥΣ πρεσβύτης τις Στρεψιάδης ὑπὸ δανείων καταπονούμενος διὰ τὴν ἱπποτροφίαν 〈τοῦ παιδὸσ〉 δεῖται τούτου φοιτήσαντος εἰς τὸν Σωκράτην μαθεῖν τὸν ἄδικον λόγον, ὅπως μηδενὶ τῶν δανειστῶν μηδὲν ἀποδώσῃ. [1]

arg nub 3 (t) μὴ βουλομένου δὲ τοῦ παιδὸς εἰσέρχεται αὐτός, καὶ μὴ δυνάμενος μαθεῖν διὰ τὸ γῆρας ἐκδιώκεται. ὑποστρέψας δὲ καὶ τῷ υἱῷ πείσας ἤγαγεν αὐτὸν τῷ Σωκράτει, ὃς καλέσας τὸν δίκαιον λόγον καὶ ἄδικον καὶ αἵρεσιν τῷ νέῳ δοὺς ἐκλέξασθαι διδάσκει ἐκεῖνον τὸν ἄδικον λόγον. μαθὼν δὲ ὁ υἱός, ὅπερ ἐβούλετο ὁ πατήρ, καὶ τὴν παχύτητα ἐκείνου ⟦ μὴ ⟧ καταγνοὺς τύπτει τὸν πατέρα αὐτὸν ἑστιῶντα. ὁ δὲ ἀλγήσας διὰ τὴν τοῦ παιδὸς ἀσέβειαν ἀπελθὼν κατακαίει τὸ φροντιστήριον νομίσας Σωκράτην αἴτιον τῆς ἀσεβείας τοῦ παιδὸς εἶναι. κατηγορεῖ δὲ ἐνταῦθα τοῦ Σωκράτους ὡς ἀσεβοῦς καὶ νέους θεοὺς ἐπεισάγοντος, ἀφέντος τοὺς συνήθεις. ἐπιγράφεται δὲ Νεφέλαι, διότι παρεισάγεται χορὸς Νεφελῶν ὁμιλῶν τῷ Σωκράτει, ἃς ἐνόμιζε θεάς, ὡς Ἀριστοφάνης κατηγορεῖ. ὁ γὰρ Ἄνυτος καὶ Μέλητος φθονοῦντες Σωκράτει καὶ μὴ δυνάμενοι ἄλλως βλάψαι ἢ φανερῶς κατηγορῆσαι μεγάλου ὄντος ἱκανὸν ἀργύριον δεδώκασιν Ἀριστοφάνει ταύτην τὴν κωμῳδίαν κατ’ ἐκείνου γράψαι. τὰ δὲ πρόσωπα Στρεψιάδης· Φειδιππίδης υἱός· θεράπων· μαθητὴς Σωκράτους· Σωκράτης· χορὸς Νεφελῶν· δίκαιος λόγος· ἄδικος· Πασίας δανειστής· μάρτυς. ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΔΡΑΜΑΤΟΣ τὸ δρᾶμα τῶν Νεφελῶν κατὰ Σωκράτους γέγραπται τοῦ φιλοσόφου ἐπίτηδες ὡς κακοδιδασκαλοῦντος τοὺς νέους Ἀθήνησι, τῶν κωμικῶν πρὸς τοὺς φιλοσόφους ἀπεχθῶς ἐχόντων. [1]

arg nub 4 (t) ἄλλοι δέ φασι τὸν Ἀριστοφάνην τὸ τῶν Νεφελῶν συντάξασθαι δρᾶμα ὑπὸ Ἀνύτου καὶ Μελήτου παροξυνθέντα. βουλόμενοι γὰρ οὗτοι γραφὴν ποιήσασθαι κατὰ Σωκράτους καὶ θέλοντες πεῖραν λαβεῖν τῆς τῶν Ἀθηναίων γνώμης περὶ Σωκράτους, ὁποῖοί τινες ἂν φανεῖεν

τῆς κατ’ αὐτοῦ γραφῆς ἐνισταμένης· πολλοὺς γὰρ εἶχεν ἐραστὰς ἐκεῖνος καὶ μάλιστα τοὺς περὶ Ἀλκιβιάδην, οἳ καὶ ἐπὶ τοῦ δράματος τούτου μηδὲ νικῆσαι ἐποίησαν τὸν ποιητήν, τούθ’ ἕνεκεν αὐτὸν ἐπὶ τὴν τοῦ δράματος τοῦδε παρώτρυναν ποίησιν χρήμασιν αὐτὸν ἱκανοῖς, ὡς λόγος, δεξιωσάμενοι. ἔστι δὲ ὁ τοῦ δράματος πρόλογός τε καὶ ἡ ὑπόθεσις δεξιώτατά τε καὶ ἁρμοδιώτατα συγκείμενα. πλάττεται γάρ τις ἄγροικος πρεσβύτης Στρεψιάδης ὄνομα ἀχθόμενος παιδὶ Φειδιππίδῃ καλουμένῳ φρονήματος γέμοντι ἀστικοῦ καὶ διὰ τὴν τῆς οἰκίας εὐγενείας πολυτέλειαν πάντα τὰ τοῖς γονεῦσι προσόντα καταναλώσαντι, καὶ μάλιστα εἰς ἱπποτροφίας. ἡ γὰρ τῶν Ἀλκμαιωνιδῶν οἰκία, ὅθεν ἦν τὸ πρὸς μητρὸς γένος τῷ μειρακίσκῳ ἐξ ἀρχῆς, ὥς φησιν Ἡρόδοτος, ἱπποτρόφος ἦν καὶ πολλὰς ἀνῃρημένη τὰς νίκας, τὰς μὲν Ὀλυμπίασι, τὰς δὲ Πυθοῖ, ἐνίας δὲ Ἰσθμοῖ καὶ Νεμέᾳ, καὶ ἄλλας ἐν ἄλλοις· εὐδοκιμοῦσαν οὖν ὁρῶν ὁ νεανίσκος ἀπέκλινε πρὸς τὸ ἦθος τῶν πρὸς μητρὸς προγόνων. ὁ πατὴρ οὖν Στρεψιάδης ὑπὸ τῶν χρεῶν καταπονούμενος διὰ τὴν τοῦ παιδὸς ἱπποτροφίαν βούλεται προσαγαγεῖν τῷ Σωκράτει τὸν παῖδα, ἵν’ ὑπ’ αὐτοῦ διδαχθείη τὸν ἄδικον λόγον, ὡς ἂν ἐντεῦθεν δι’ αὐτοῦ τοὺς δανειστὰς ἀποκρούσηται. δεῖται οὖν τοῦ παιδὸς πεισθῆναι τοῖς βεβουλευμένοις αὐτῷ· μὴ πεισθέντος δὲ τούτου, διαγνοὺς αὐτὸς ἐλθὼν μανθάνειν μηδεμίαν τῆς τοῦ γήρως ἡλικίας φροντίδα ποιησάμενος μηδ’ ἐνθυμηθείς, εἴ τισιν ἄτοπον δόξειεν ἀνὴρ “ἐν γήραος οὐδῷ” μανθάνειν καθάπερ κομιδῇ νέος ἀρχόμενος, ἀλλ’ εἰς ἓν ἀφεωρακὼς μόνον ἐκεῖνο, ἐὰν ἄρα οἷός τε γένηται τοὺς δανειστὰς διὰ πειθοῦς ἀποστερήσων τὰ χρήματα, αὐτὸς πρόσεισι τῷ Σωκράτει· καὶ μαθητήν τινα τοῦ Σωκράτους καλέσας διαλέγεται περὶ τούτου, καὶ τῆς διατριβῆς διαλυθείσης οἱ μαθηταὶ κύκλῳ καθήμενοι πιναροὶ συνορῶνται, καὶ αὐτὸς δὲ ὁ Σωκράτης ἐπὶ τῆς κρεμάθρας αἰωρούμενος καὶ ἀποσκοπῶν τὰ μετέωρα θεωρεῖται. μετὰ ταῦτα τελεῖν παραλαβὼν τὸν πρεσβύτην καὶ τοὺς νομιζομένους παρ’ αὐτῷ θεοὺς παραδοῦναι Ἀέρα τε καὶ Αἰθέρα, πρὸς δὲ καὶ Νεφέλας μετακαλεῖται. πρὸς δὲ τὴν εὐχὴν εἰσέρχονται Νεφέλαι χοροῦ σχῆμα πληροῦσαι, καὶ φυσιολογήσαντος οὐκ ἀπιθάνως τοῦ Σωκράτους ἀποστραφεῖσαι πρὸς τοὺς θεατὰς περὶ πλειόνων διαλέγονται. μετὰ ταῦτα ὁ πρεσβύτης διδασκόμενος μὲν ἐν τῷ φανερῷ, μὴ ἔχων δ’ ὑπηρετοῦντα τῇ βουλήσει τὸν νοῦν καὶ εἰς γέλωτα κινήσας τοὺς μαθητὰς τοῦ διδασκαλείου ἐκβάλλεται· καὶ προσελθὼν αὖθις τῷ παιδὶ πολλαῖς πέπεικε ταῖς δεήσεσιν ἕνα τῶν Σωκράτους ὁμιλητῶν γεγενῆσθαι. συνίστησιν οὖν αὐτὸν τῷ Σωκράτει, καὶ ἐξαγαγόντος Σωκράτους ἐν τῷ θεάτρῳ τὸν ἄδικον καὶ τὸν δίκαιον λόγον διαγωνίζονται πρὸς ἀλλήλους οἱ λόγοι· καὶ νικήσας ὁ ἄδικος παραλαμβάνει τὸν νέον πρὸς τὸ διδάξαι, καὶ ἱκανῶς ἐκδιδάσκει. ὡς οὖν ἤδη ἐκπεπονημένον κομισάμενος αὐτὸν ὁ πατὴρ ἐπηρεάζει τοῖς χρήσταις καὶ ὡς κατωρθωκὼς τὸ σπουδαζόμενον εὐωχίαν συνίστησιν, ἐν ᾗ καὶ ἀντιλογίας γενομένης πληγὰς λαβὼν ὑπὸ τοῦ παιδὸς βοὴν ἵστησι· καὶ προσκαταλαλούμενος ὑπὸ τοῦ παιδός, ὅτι δίκαιον τοὺς πατέρας ὑπὸ τῶν υἱῶν τύπτεσθαι, ὑπεραλγῶν τούτου χάριν κατασκάπτει καὶ ἐμπίπρησι τὸ σωκρατικὸν φροντιστήριον. ἔστι δὲ τὸ δρᾶμα τῶν πάνυ δυνατῶς πεποιημένων. ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ Στρεψιάδης· Φειδιππίδης· δοῦλος Th 2 Tr 1 [ θεράπων Tr 2 ] Στρεψιάδου· μαθητὴς Σωκράτους· Σωκράτης· Tr 1/2 χορὸς Νεφελῶν· δίκαιος λόγος· ἄδικος λόγος· Σωκράτης· Th 2 Πασίας· δανειστής· Th 2 Πασίας δανειστής· Tr 1 [ δανειστὴς Πασίας· Tr 2 ] μάρτυς· ἕτερος δανειστής. [1]

dram per nub 1 (t)

Th 2 Tr 1 [ δανειστὴς Ἀμυνίας· Tr 2 ] Χαιρεφῶν. Tr 2 THOMAS—TRICLINIUS δυσφορῶν ὁ Στρεψιάδης ὑπὸ τῆς τῶν χρεῶν φροντίδος καὶ μὴ δυνάμενος ὑπνώττειν ταῦτα σχετλιάζων βοᾷ. [5]

sch th-tr nub 1

ἡ εἴσθεσις τοῦ δράματος ἄρχεται ἐκ συστηματικῆς περιόδου, καὶ ἑξῆς ἐκ προσώπων ἀμοιβαίων· οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι σνθ′, ὧν προτίθεται ἐν ἀρχῇ τοῦ δράματος κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον τὸ “ ἰοὺ ἰο ύ” . μετὰ δὲ τὸν σκα′ τίθεται ἐν εἰσθέσει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον καὶ μετὰ τὸν σλγʹ ἕτερον κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον. τελευταῖος δὲ πάντων τούτων οὗτος καταπαττόμενος γὰρ παιπάλη γενήσομαι. ἐπὶ ταῖς ἀποθέσεσι τῶν συστημάτων παράγραφος. ἐπὶ δὲ τῷ τέλει πάντων τῶν στίχων κορωνίς. ἰοὺ ἰού] ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. [5]

sch th-tr nub 1d ἰοὺ ἰού] προοίμιον σχετλιαστικὸν ἐκ τοῦ πράγματος. ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι στίχοι σξʹ, ὧν τελευταῖος καταπαττόμενος γὰρ παιπάλη γενήσομαι.

sch th-tr nub 2b πρότασις. τὸ .

sch th-tr nub 2c .. νυκτῶν] ἤγουν αἱ νύκτες. ὅσον] ἤγουν πολύ.

sch th-tr nub 3 ἀπέραντον] ἀτελές. οἱ γὰρ ἀγρυπνοῦντες ὑπὸ φροντίδος τινὸς μεγάλας τὰς νύκτας λογίζονται. Tr 1/2 κατασκευή.

sch th-tr nub 4b ἀλεκτρυόνος] τούτου γὰρ ἡ φωνὴ ἔμφασιν ἡμέρας παρίστησιν. ῥέγκουσιν] βαθέως ὑπνώττουσι καὶ ὅ φασιν ἰδιωτικῶς ῥοχαλίζουσιν.

sch th-tr nub 7a φασίν, ὡς Ἀθηναῖοι, Λακεδαιμονίοις ἐν Ἀργιννούσαις Th 2 [ Ἀργινούσαις Tr 1/2 ] ναυμαχήσειν μέλλοντες, προεῖπον τοῖς δούλοις, ὡς εἴ τις αὐτῶν συμπαρατάξεται τῇ ναυμαχίᾳ, τιμῆς εἰς τὸ λοιπὸν ἀπολαύειν. Th 2 [ ἀπολαύσειν. Tr 1/2 ] βοηθησάντων οὖν τῶν δούλων Λακεδαιμονίους ἐνίκησαν. καὶ ταῦτα μέν τινες φάσκουσι· τὸ δ' ἀληθὲς οὕτως ἔχει. Ἀθηναίοις καὶ Λακεδαιμονίοις πόλεμος ἦν. οὐκ ἤθελον οὖν Ἀθηναῖοι τοὺς δούλους κολάζειν, εἴ τι πταίσαιεν, δεδιότες μὴ πρὸς Λακεδαιμονίους αὐτομολήσωσι. τὸ δὲ "ὅτε" ποτὲ μὲν μόνον χρόνον δηλοῖ, ποτὲ δὲ καὶ χρόνον καὶ αἰτίαν, ὡς ἔστι κἀνταῦθα. ὅτ'] ὅτε. [5]

sch th-tr nub 7c ὅτ'] ἐπεί. βάσις.

sch th-tr nub 9 τῆς] ἐπί. ἐν .

sch th-tr nub 10a .. σισύραις] ἀρχὴ γὰρ ἔαρος ἦν καὶ ἐνεκαλύπτοντο Tr 1/2 γούναις ἔτι. Tr 1/2 . ἐγκεκορδυλημένος] ἐντετυλιγμένος· κορδύλην γὰρ Κύπριοι λέγουσι τὸ ἐνείλημα τῆς κεφαλῆς.

sch th-tr nub 10b Tr 1/2 τοῦτο πρὸς ἑαυτὸν λέγει.

sch th-tr nub 11a Tr 2 ῥέγκωμεν] ἀττικόν.

sch th-tr nub 11c ἐγκεκαλυμμένοι] ἐσκεπασμένοι. τῆς φάτνης] ἤγουν τῆς ἱπποτροφίας.

sch th-tr nub 14a διὰ τουτονὶ τὸν υἱόν, φησίν, οὐ δύναμαι εὕδειν Tr 2 · οὗτος γὰρ αἴτιος τοῦ μὴ εὕδειν με Th 2 Tr 1 χρέα πολλὰ καὶ δαπάνην εἰς τὴν ἀσκουμένην αὐτῷ ἱπποτροφίαν ἐπενεγκών μοι, ὧν μεμνημένος ἄγρυπνος διατελῶ. διὰ .

sch th-tr nub 14b .. υἱόν] τούτου γὰρ ἕνεκα ταῦτα ἐδανεισάμην. ἱππάζεταί .

sch th-tr nub 15 .. ξυνωρικεύεται] ἤγουν νῦν μὲν ἐπὶ κέλητος, νῦν δὲ ἐπὶ ξυνωρίδος ἅρματος ὀχούμενος ἄνω καὶ κάτω βακχεύει. ὀνειροπολεῖν ἐστι τὸ ὀνείρατα φαντάζεσθαι, ὀνειρώττειν δὲ τὸ ἐπὶ τῶν νυκτῶν αὐτομάτως ἀφιέναι γόνον, ὅπερ ἐπὶ τοῖς ἐν ἐπιθυμίᾳ τινὸς οὖσι συμβαίνει δόξασι τοῖς παιδικοῖς συνεῖναι.

sch th-tr nub 16b ὀνειροπολεῖ] ἤγουν ἐν ὀνείρασι φαντάζεται. ἤγουν ἤδη εἰς τέλος ἰοῦσαν.

sch th-tr nub 17a τελεῖται γὰρ ἡ σελήνη ἐν ἡμέραις εἰκοσιοκτώ· τὰ δὲ εἴκοσι τῶν εἰκοσιοκτὼ ἐγγύς εἰσιν. ἐδίδοντο οὖν ἐν τῷ τέλει τῆς σελήνης οἱ τόκοι. ἢ τὸ " εἰκάδα ς " μὴ νόει διὰ μόνα τὰ εἴκοσιν, ἀλλὰ καὶ Th 2 διὰ τὰ ἐφεξῆς. τούτου γὰρ ἕνεκα πληθυντικῶς εἴρηκεν. Th 2 Tr 1 (cf.

sch th-tr nub 17b 17a) ἐπεὶ ἡ σελήνη ἐν ἡμέραις εἰκοσιεννέα τελεῖται, τὰ δὲ κʹ τῶν εἰκοσιεννέα ἐγγύς, ἐδίδοντο δὲ ἐν τῷ τέλει τῆς σελήνης οἱ τόκοι, διὰ τοῦτο τὸ " εἰκάδα ς " εἶπεν. ἢ τὸ " εἰκάδα ς " ... ἀλλὰ καὶ ... εἴρηται. οἱ γὰρ .

sch th-tr nub 18

Eulogikon public reading copy · View original HTML at eulogikon.org

.. χωροῦσιν] ἤγουν ἐγγύς ἐστι τὸ ἀποτιννύειν Th 2 Tr 1 [ ἀποδιδόναι Tr 2 ] τούτους τοῖς δανεισταῖς. λογίσωμαι] λογαριάσω.

sch th-tr nub 21a ὅτι ἡ μνᾶ ἔχει ἰταλικοὺς στατῆρας μ′, οὐγγίας κ′, ὁ στατὴρ δὲ νομίσματα γ′, ὅ ἐστι δίδραχμα β′, ὃ καλεῖται καὶ κοδράντης, ἡ δὲ δραχμὴ ἔχει κεράτια ιη′, ἥτις οὐγγία καλεῖται. τὸ δὲ τάλαντον λίτρας ρκε′ καὶ λεπτὰς ς′. μνᾶς] λίτρας.

sch th-tr nub 22a μὴ λάβῃς εἰς τὸ “ το ῦ ” ἔξωθεν τὸ “ἕνεκα”, ὡς οἴονταί τινες, ἀλλ’ ἔστιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ “ μνᾶ ς” . τοῦ] τίνος πράγματος.

sch th-tr nub 22c μνᾶς] ὀφείλω. ἐχρησάμην] αὐταῖς· ἢ τὸ “ἐχρησάμην” ἀντὶ τοῦ “ἐδανεισάμην”.

sch th-tr nub 23a ὅτ’ ἐπριάμην] συνῆκα δηλονότι. κοππατίαν] ἵππον, ἐν ᾧ ἐκεχάρακτο τὸ κ.

sch th-tr nub 23b Tr 1/2 ἐξεκόπην] ἀφῃρέθην· παρὰ τὸν κοππατίαν δὲ παίζει εἰπὼν τὸ “ ἐξεκόπη ν” .

sch th-tr nub 24 Tr 1/2 Vat (evan.

sch th-tr nub 24bis eo loco Vd) . Φίλων] ἤγουν φίλε Tr 2 .

sch th-tr nub 25 τοῦτο δὲ Tr 2 καθ’ ὕπνους ὁ νεανίας Th 2 [ νεανίσκος Tr 1/2 ] φησί, καὶ διὰ τοῦτο ἀναρμόστως εἴρηκεν. Tr 2 καθεύδων] κοιμώμενος.

sch th-tr nub 28a δέον οὕτως εἰπεῖν· πόσους δρόμους ἐλαύνει τὰ ἁμιλλητήρια; ἀντὶ τοῦ “πόσοι δρόμοι εἰσὶ τῆς ἁμίλλης”, ὁ δέ, ἐπειδὴ καθ’ ὕπνους τοῦτ’ ἔλεγεν, πολεμιστήρια εἶπεν. ὁ γὰρ νοῦς τῶν ὀργάνων ἀργούντων τῷ ὕπνῳ εἰκῇ φέρεται. πόσους δρόμους] καὶ τοῦτο καθ’ ὕπνους λέγει.

sch th-tr nub 28b Tr 2 δρόμους] ἤγουν πολλὰς στροφὰς φροντίδων στρέφεσθαί με ποιεῖς διὰ τὰ χρέα.

sch th-tr nub 30a ἀτὰρ] δέ. ἔβα] ἦλθε, κατέλαβε.

sch th-tr nub 31a τρεῖς μναῖ] ὀφείλονται. διφρίσκου] ἤγουν ἅρματος.

sch th-tr nub 31c Ἀμυνίᾳ] τῷ. ἄπαγε] καὶ τοῦτο καθ’ ὕπνους.

sch th-tr nub 32b ἐξαλίσας] ἐκβαλὼν τῆς ἁμίλλης, ἀπὸ τοῦ ἁλίζω, τὸ συναθροίζω Tr 2 . οὐ κυλισθῆναι ποιήσας, ὥς τινές φασιν. ἐξήλικας] ἐξέβαλες.

sch th-tr nub 33b τῶν ἐμῶν] πραγμάτων. ὅτε] ἐπεί.

sch th-tr nub 34b ὤφληκα] χρεωστῶ Tr 2 τοῖς δανεισταῖς. τόκου] ἕνεκα.

sch th-tr nub 35a ἐνεχυράσασθαι] ἐνέχυρον ἐξ ἐμοῦ λαβεῖν. ἐτεόν] ἀληθῶς.

sch th-tr nub 36a δυσκολαίνεις] φροντίζεις, ἀγανακτεῖς· τοιαῦτα γὰρ πάσχουσιν οἱ φροντίδα τινὰ ἔχοντες. Tr 1/2 στρέφει] στρέφῃ.

sch th-tr nub 37a δέον εἰπεῖν· κόρυς· Th 2 κόρεις. Tr 1 [ δάκνει με κόρις ἐκ τῶν στρωμάτων. Tr 2 ] οἱ γὰρ κόρεις ἐν τοῖς στρώμασιν ὄντες τοὺς ὑπνοῦντας δάκνουσιν. ὁ δὲ μεμνημένος, ὅτι εἰς δικαστήριον ἥξει ὑπὸ τῶν δανειστῶν, “ δήμαρχο ς ” φησίν. δήμαρχος δέ ἐστιν ὁ τοῦ δήμου προστάτης, ὅν φασιν ἰδιωτικῶς δοῦκαν, ᾧ ἐξῆν ἐνεχυράζειν τοὺς ἀγνώμονας τῶν χρεωστούντων. Tr 1/2 δήμαρχός] ἄρχων τοῦ δήμου. [5]

sch th-tr nub 38 καταδαρθεῖν] κοιμηθήσεσθαι· κυρίως δὲ τὸ ἐπὶ δερμάτων κεῖσθαι. Tr 1/2 προκατάστασις.

sch th-tr nub 41b ἡ προμνήστρι’] ἡ τοῦ γάμου πρόξενος. ἀπολέσθαι] ἀπολεσθῆναι.

sch th-tr nub 42 ἐπῆρε] παρεκίνησε. διήγησις.

sch th-tr nub 43b ἄγροικος κυρίως ὁ ἰδιώτης, ἀγροῖκος δὲ ὁ ἐν τῷ ἀγρῷ οἰκῶν. οἱ Ἀττικοὶ δὲ ἐναλλὰξ λέγουσιν, ὥσπερ κἀνταῦθά ἐστιν ἄγροικος ὁ ἐν τῷ ἀγρῷ οἰκῶν. οἱ ἐν τῷ ἀγρῷ οἰκοῦντες ἄνθρωποι προβάτοις καὶ ἄλλοις ζῴοις ἐνευθηνοῦντες, λέγω δὴ χοίροις, μελίσσαις Th 2 Tr 1 [ μελίτταις Tr 2 ] καὶ λοιποῖς τοιούτοις Tr 1/2 , μεστὸν ἔχουσι τὸν αὐτῶν οἶκον τυρῶν καὶ βουτύρων καὶ δερμάτων, ἃ σκώληκας ἔστιν ὅτε ποιοῦσι διὰ σῆψιν.

sch th-tr nub 44a οὐκ ἔχει δὲ ὁ τούτων οἶκος εὐθεσίαν τῶν τοιούτων πραγμάτων, ἀλλ’ ἄλλο ἀλλαχῆ κεῖται, ὡς ἔτυχεν. εὐρωτιῶν] σκωλήκων μεστός· Th 2 Tr 1 [ σεσημμένος· Tr 1/2 ] ἀπὸ τοῦ εὐρός Tr 1 [ εὐρώς Th 2 Tr 2 ] , ὁ σκώληξ.

sch th-tr nub 44c ἀκόρητος] ἀνεπιμέλητος Tr 1/2 , ἀκαλλώπιστος· κορῶ γὰρ τὸ ἐπιμελοῦμαι. Tr 1/2 βρύων] θάλλων.

sch th-tr nub 45b στεμφύλοις] στέμφυλα λέγονται τὰ ἀποπιέσματα τῶν σταφυλῶν καὶ τῶν ἐλαιῶν. Μεγακλέους τοῦ Μεγακλέους] τοῦ κατὰ πολὺ ἐνδόξου.

sch th-tr nub 46 δὶς δὲ τὸ αὐτὸ εἶπεν εἰρωνευόμενος. Tr 2 ἀδελφιδῆν] τοῦ ἀδελφοῦ αὐτοῦ θυγατέρα.

sch th-tr nub 48a σεμνὴν] σοβαρὰν τὸ ἦθος. τρυφῶσαν] ἱματίοις καὶ ἐν Th 2 τῇ ἄλλῃ διαίτῃ.

sch th-tr nub 48b Th 2 Tr 1 [ δαπάνῃ. Tr 2 ] ἐγκεκοισυρωμένην] περισσῶς κεκοσμημένην Tr 1/2 καὶ Tr 2 κεκαλλωπισμένην ὁμοίως τῇ Κοισύρᾳ.

sch th-tr nub 48c Tr 1/2 Κοισύρα τις ἦν γυνὴ Th 2 αὕτη δὲ γυνή τις ἦν Tr 1 [ ἡ Κοισύρα γυνή τις ἦν Tr 2 ] πάνυ σεμνῶς Tr 2 ἑαυτὴν καὶ ποικίλως Tr 2 κοσμοῦσα, ὡς τοὺς ὁρῶντας ἐκπλήττεσθαι· ἀφ’ ἧς καὶ τὸ γένος εἶχεν.

sch th-tr nub 48d Th 2 Tr 1 [ ἐκ ταύτης οὖν τὸ γένος εἷλκεν Tr 2 ] ἡ τούτου γυνή. ἀπὸ τῆς Κοισύρας δὲ τὸ κοισυρῶ, τὸ καλλωπίζω, παρήχθη. Tr 2 ἐγάμουν] εἰς γάμον ἐλάμβανον.

sch th-tr nub 49b συγκατεκλινόμην] σὺν αὐτῇ παρὰ Th 2 [ πρὸς Tr 1/2 ] τὴν κλίνην ἐκείμην. τρασιᾶς] ἡ τρασιὰ σανίς ἐστιν Th 2 , [ σανίς Tr 1 , σανίδος Tr 2 , ] ἐν ᾗ τὰ σύκα Th 2 Tr 1 [ σῦκα Tr 2 ] ταριχεύουσι πρὸς τὸν ἥλιον.

sch th-tr nub 50 ἀπὸ τούτου δὲ τὴν ὀσμὴν δηλοῖ τὴν ἐκ τῶν σύκων καὶ τῶν λοιπῶν τῶν τοιούτων γινομένην. Tr 2 αὖ] ὦζε.

sch th-tr nub 51b καταγλωττισμάτων] φιλημάτων ἢ Tr 2 σεμνῶν λόγων. τὸ “ καταγλωττισμάτω ν” ἢ ἀντὶ τοῦ “σεμνῶν λόγων” ἢ Th 2 καταγλώττισμά ἐστιν, ὅταν ἐν τῷ καιρῷ τῆς συνουσίας ὁ ἀνὴρ τὴν γλῶτταν αὑτοῦ τῷ τῆς γυναικὸς ἐμβάλλῃ Th 2 [ ἐμβάλῃ Tr 1/2 ] στόματι.

sch th-tr nub 51c ἔστι δὲ καὶ ὁ λαφυγμὸς κατὰ μέν τινας τὸ αὐτό· κατὰ δέ τινας ἡ ἄλογος καὶ καθ’ ὑπερβολὴν δαπάνη. ἔστι γὰρ λάπτω καὶ λαφύσσω τὸ ῥοφῶ κυρίως ἐπὶ κυνῶν καὶ χοίρων Tr 2 , ὅθεν παράγεται καὶ ὁ λαφυγμός. εἰκότως δὲ ταῦτα καταλέγει δεικνύς, ὅτι αἱ εὐγενεῖς γυναῖκες τοιαῦτα πράττουσιν ὑπὸ τῆς ἄγαν τρυφῆς. Tr 2 Κωλιὰς δὲ ἡ Ἀφροδίτη οὕτως εἴρηται· ἀνήρ τις φθείρας κόρην ἐκ τῶν κώλων ἤτοι τῶν χειρῶν καὶ τῶν Th 2 Tr 1 ποδῶν ἐκρεμάσθη· καὶ λυθεὶς ἐκ τῆς θεοῦ ἱερὸν ἱδρύσατο Κωλιάδος Ἀφροδίτης ἐπονομάσας. Γενετυλλὶς δὲ ἐκλήθη ὡς γενέσεως αἰτία. ἀργὸς] ἀργὴ ἀττικῶς.

sch th-tr nub 53a Tr 2 ἐσπάθα] ἐδαπάνα· ἀνήλισκεν ἀφειδῶς.

sch th-tr nub 53b Tr 2 θοιμάτιον] ὃ κατερρωγὸς εἶχον.

sch th-tr nub 55 πρόφασιν] τοῦ λόγου. —Vat M9 (evan.

sch th-tr nub 55bis eo loco Vd). ἐνετίθεις θρυαλλίδων] ἐνέβαλες Th 2 Tr 1 [ ἐνέβαλλες Tr 2 ] θρυαλλίδα.

sch th-tr nub 59b θρυαλλὶς κυρίως ὁ τοῦ φωτελίου σπινθήρ· νῦν δὲ καταχρηστικῶς αὐτὸ τὸ φωτέλιον λέγει. Tr 2 μέρος τῆς διηγήσεως.

sch th-tr nub 60b ὅπως] ἔπει. νῶϊν] συνίζησις.

sch th-tr nub 61 τ’ἀγαθῇ Th 2 [ τῇ’γαθῇ Tr 1/2 ] ] κατ’ εἰρωνείαν. ἐντεῦθεν] μετὰ ταῦτα.

sch th-tr nub 62b ἐλοιδορούμεθα] ὑβριζόμεθα ὑπ’ ἀλλήλων. τοὔνομα Th 2 [ τὸὔνομα Tr 1/2 ] ] τοῦ παιδός.

sch th-tr nub 65a πάππου] τὸ ὄνομα. ’τιθέμην] αὐτῷ.

sch th-tr nub 66a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τέως] πρότερον. ἐκρινόμεθ’] ἐμαχόμεθα, ἐχωριζόμεθα.

sch th-tr nub 66b Tr 2 τῷ χρόνῳ] μόλις.

sch th-tr nub 67a ξυνέβημεν] συνήλθομεν. κἀθέμεθα] αὐτῷ ὄνομα.

sch th-tr nub 68 ἐκορίζετο] ἐκολάκευε. μὴ λάβῃς ἔξωθεν τὸ “ἔσται καιρός” εἰς τὸ “ ὅτα ν” , ἀλλ’ ἔστιν ἐπιφώνημα σύνηθες ἡμῖν, ὅταν πρὸς τὴν μέλλουσαν τύχην ἀφορῶμεν ἐκπληττόμενοι.

sch th-tr nub 70a Μεγακλέης] ὁ σὸς θεῖος. ἔχων] περὶ αὐτόν.

sch th-tr nub 70c ξυστὶς Th 2 [ ξύστις Tr 1/2 ] ξύστιδος προπαροξυτόνως Tr 2 εἶδος ἱματίου πορφυροῦ, ᾧ κοσμούμενοι οἱ ἀθληταὶ διὰ μέσης τῆς πόλεως ἐπόμπευον. Tr 1/2 ἄλλοι δέ φασι τὸ ἰδιωτικῶς λεγόμενον σωσάνιον· καλεῖται δὲ σωσάνιον ὡς σῷζον τοὺς ἄνδρας. Φελλέως] ὄρος ὁ Φελλεὺς Tr 2 ἐν Ἀττικῇ.

sch th-tr nub 72a διφθέραν] γοῦναν. ἐνημμένος] ἐνδεδυμένος.

sch th-tr nub 72c γρ. ἐνειμένος. ἐπείθετο] ὁ παῖς.

sch th-tr nub 73b οὐδὲν] οὐδαμῶς. εἰ δὲ γράφεται “ῥημάτων”, οὕτως εἴποις· Th 2 [ εἴπῃς· Tr 1 ] ἀλλὰ κατέχεε τῶν ῥημάτων ἐμοῦ ἱππικὸν ἔρωτα, τουτέστιν ἐμοῦ ὡς μηδὲν Th 2 [οὐδὲν Tr 1 ] δεῖ δαπανᾶν λέγοντος λῆρον ἡγησάμενος τοὺς λόγους ἀντετίθει αὐτοῖς, ὡς ἐραστής ἐστιν ἵππων καὶ οὐδέποτε τούτου ἂν ὑποσταίη.

sch th-tr nub 74a Th 2 [ ἀποσταίη. Tr 1 ] παίζει δὲ παρὰ τὸν ἴκτερον, ὅς ἐστι νόσημα τῷ προσώπῳ ἐπιχεόμενον. Tr 1 (cf. [5]

sch th-tr nub 74b 74a) εὕρηται εἰς τὸ “χρημάτων” καὶ “ῥημάτων”, ὅπερ οὕτως εἴπῃς (1) … (3) δαπανᾶν ἀφειδῶς λέγοντος … (4) ἀποσταίη … (5) νόσημα τῇ τοῦ σώματος ἐπιφανείᾳ περιχεόμενον· διὸ καὶ τὸ “κατέχεε” κατὰ λόγον ἐπέθηκεν. ἵππερόν] ἱππικὸν ἔρωτα.

sch th-tr nub 75 ὁδοῦ] ἤγουν Th 2 Tr 1 μεθόδου, δι’ ἧς ἂν ἀπαλλάξωμαι τῶν χρεῶν. ἀτραπὸν] ὁδόν, ὃ κοινῶς μονοπάτιον λέγεται.

sch th-tr nub 76a Tr 2 ὑπερφυᾶ] ἄκρως φρόνιμον.

sch th-tr nub 77 ἣν] ὁδόν. ἐξεγεῖραι] ἀναστῆσαι Tr 2 τοῦ ὕπνου.

sch th-tr nub 79 πῶς (alt.) ] ὁ διπλασιασμὸς οὗτος τοῦ “πῶς” ἀπορίας ἐστίν. κύσον] φίλησον.

sch th-tr nub 81b ἔθος ἦν τοῖς παλαιοῖς τὰς δεξιὰς διδόναι ἀλλήλοις εἰς βεβαίωσιν τῶν συνθηκῶν. καὶ Ὅμηρος· χεῖράς τ’ ἀλλήλων λαβέτην καὶ πιστώσαντο. μὴ εἴπῃς μοι, φησί, τὸν ἵππιον.

sch th-tr nub 84 Tr 2 οὐ γὰρ ἀνέχομαι τὸ τῶν ἵππων ἀκούειν Tr 2 ὄνομα, δι’ οὓς ἀπολωλέκειν τὰ χρήματα. τῶν κακῶν] ἃ πέπονθα· λέγω δὴ τὴν τῆς οὐσίας ἀπώλειαν καὶ τὸ τῶν χρεῶν βάρος.

sch th-tr nub 88a ἔκστρεψον] μετάβαλε. τοὺς .

sch th-tr nub 88b .. τρόπους] οὓς περὶ τὴν ἱππικὴν ἔχεις. ‛ ἂν] ἃ ἄν.

sch th-tr nub 90a πείσει(ῃ)] τῷ ἐμῷ κελεύσματι. πείσει] πείσῃ.

sch th-tr nub 91a νυν] δή. ἀπόβλεπε] ἐνταῦθα, Th 2 Tr 1 ὅπου ἐγὼ δείξω.

sch th-tr nub 93 ἐτεὸν] ἀληθῶς. φροντιστήριον] ἀσκητήριον.

sch th-tr nub 96a ἀναπείθουσιν] τοὺς ἀκούοντας. πνιγεύς] φοῦρνος.

sch th-tr nub 97 περὶ ἡμᾶς] κύκλῳ ἡμῶν. διδῷ] αὐτοῖς.

sch th-tr nub 98b τοῦτο ψεῦδος διαβολῆς χάριν. οὐδεὶς γὰρ Tr 2 μισθὸν ἐδίδου Σωκράτει· οὗτος γὰρ ἔφασκε μηδὲν εἰδέναι, διόπερ καὶ παρὰ τοῦ Πυθίου σοφὸς ἐκρίθη. τοῦτο γὰρ αὐτοῦ πρῶτον ἔκρινεν εἶναι σοφόν, τὸ γνωρίσαι, ὅτι οὐδὲν οἶδεν. πῶς οὖν ἂν μισθὸν εἰσέπραττεν ὁ λέγων μηδὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰδέναι; οὐκοῦν ψεῦδος τὸ εἰρημένον. λέγοντα] τὸ “ λέγοντ α ” Th 2 Tr 1 [ τοῦτο Tr 2 ] πρὸς τὸ “ δίκαια κἄδικ α ” σύναπτε. [5]

sch th-tr nub 99b νικᾶν] τὸν αὐτοῦ ἀντίδικον. Vat M9.

sch th-tr nub 100 τοὔνομα Th 2 [ τοὔνομα Tr 1/2 ] ] τὸ κύριον ὄνομα αὐτῶν. Tr 2 αἰβοῖ] σχετλιαστικὸν ἐπίρρημα.

sch th-tr nub 102b πόνηροί] ἐπίπονοι. οἱ γὰρ Th 2 Tr 1 [ ὅτι οἱ Tr 2 ] φιλόσοφοι διὰ τὸ σεμνὰ ἔχειν ἤθη ἀλαζόνες τισὶ δοκοῦσιν· ὠχριῶντες δέ εἰσι καὶ ἀνυπόδετοι Th 2 [ ἀνυπόδητοι Tr 1/2 ] , ἐπειδὴ μόνης ἀρετῆς φροντίζοντες, καὶ οὐ τρυφῆς, διώκουσι τὸ ἀπέριττον.

sch th-tr nub 104a ὢν] ὑπάρχει. Χαιρεφῶν] οὗτος ἑταῖρος ἦν Tr 2 Σωκράτους.

sch th-tr nub 105 νήπιον] μωρόν· τοιαῦτα γὰρ τὰ νήπια. Tr 2 κήδει] γρ.

sch th-tr nub 106a φείδῃ. κήδει] κήδῃ.

sch th-tr nub 106c κήδει(ῃ)] φροντίζεις. ἄλφιτα ἐνταῦθα καταχρηστικῶς λέγει Th 2 Tr 1 [ λέγει καταχρηστικῶς Tr 2 ] τὴν περιουσίαν.

sch th-tr nub 107a τούτων] τῶν φιλοσόφων. σχασάμενος] ἀφείς, καταπαύσας.

sch th-tr nub 107b Tr 1/2 σχάσαι κυρίως ἐστὶ τὸ σχίσαι τὴν κώπην τὸ ὕδωρ ἐρέσσουσαν.

sch th-tr nub 107c καὶ Πίνδαρος· κώπαν ἤδη μοι σχάσαι. οὐκ ἂν] γενοίμην τούτων.

sch th-tr nub 108b τὸν Διόνυσον] εὐλόγως δὲ Tr 2 τοῦτον Tr 1 [ τὸν Διόνυσον Tr 2 ] ὄμνυσιν, ὅτι ἐν τῇ ἑορτῇ τούτου ἠγωνίζετο. φασιανοὺς] ὀνόματα ἵππων.

sch th-tr nub 109b Λεωγόρας] ἄριστος οὗτος Th 2 Tr 1 [ οὗτος ἄριστος Tr 2 ] ἱπποτρόφος. φασιανούς φησιν ἵππους δηλονότι, ἀλλ’ οὐκ ὄρνις· φασιανικοὶ γὰρ οὗτοι λέγονται.

sch th-tr nub 110 ἀντιβολῶ] ἀντὶ τοῦ παρακαλῶ ἀττικῶς. οὐ γὰρ ἑαυτῷ ἔμελλε μαθεῖν, ἤγουν δι’ οἰκεῖον θέλημα ἢ ὄφελος, ἀλλὰ διὰ τὸ τοῦ πατρός· διὸ τὸ “ σο ι ” λέγει, ἤγουν τί μαθήσομαι ὑπὲρ σοῦ.

sch th-tr nub 113a τὸν κρείττον’] τὸν δίκαιον. ὅστις ἐστί] οὐ γὰρ οἶδα αὐτόν.

sch th-tr nub 113b Th 2 [ αὐτὸν οἶδα. Tr 1/2 ] τὸν ἥττονα] ἤγουν Tr 1/2 τὸν ἄδικον.

sch th-tr nub 115 νικᾶν] τὸ δίκαιον. praeter LhCant.

sch th-tr nub 118 2. τλαίην] ὑπομείναιμι.

sch th-tr nub 120a τοὺς ἱππέας] τοὺς νέους, μεθ’ ὧν ἱππαζόμην. διακεκναισμένος] βεβλαμμένος, ὠχριωμένος, ἐφθαρμένος, οἷόν ἐστι τὸ τῶν φιλοσόφων χρῶμα.

sch th-tr nub 120b Tr 2 εἰκότως ἐνταῦθα τὴν Δήμητρα ὄμνυσιν, ἐπεὶ περὶ τροφῶν ὁ λόγος αὐτῷ, ὧν ἡ θεὸς ἔφορος.

sch th-tr nub 121b ἔδει] φάγῃς. ἔδει] ἔδῃ.

sch th-tr nub 122a ζύγιος ... σαπφόρας Th 2 σαπ(μ) φόρας Tr 1 [ σαμφόρας Tr 2 ] ] ὀνόματα ἵππων. ζύγιοί εἰσιν οἱ ὑποβαλλόμενοι τῷ τοῦ ἅρματος ζυγῷ ἵπποι· σαπφόρας Tr 1 [ σαμφόραι Tr 2 ] δὲ ὁ ἔχων Tr 1 [ οἱ ἔχοντες Tr 2 ] περὶ τὸν μηρὸν τὸ σίγμα κεχαραγμένον.

sch th-tr nub 123 ἐξελῶ] ἐξελάσω. περιόψεται] παραβλέψει.

sch th-tr nub 125 εἴσειμι] εἰσελεύσομαι εἰς τὴν οἰκίαν. praeter LhCant.

sch th-tr nub 125bis 2. πεσὼν γε κείσομαι] ἤγουν καταρᾳθυμήσας, ἀμελήσας Th 2 , [ καταρρᾳθυμήσας ἀμελήσω Tr 1/2 , ] περὶ ὧν φροντίζω.

sch th-tr nub 127a εὐξάμενος ... θεοῖς] εὐχῆς γὰρ δεῖται τὰ τοιαῦτα ἔργα, ὥστε συνευδοκοῦν κτήσασθαι καὶ τὸ θεῖον. διδάξομαι] διδαχθήσομαι.

sch th-tr nub 129a πῶς οὖν] τοῦτο καθ’ ἑαυτὸν λέγει. βραδύς] τὸν νοῦν.

sch th-tr nub 130a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σκινδαλαμός ἐστι τὸ λεπτότατον ξύσμα τῶν καλάμων καὶ ξύλων· τοῦτο δὲ ἐπὶ μὲν τῆς εὐθείας ὀξύνεται, ἐπὶ δὲ τῶν πλαγίων παροξύνεται. σκινδαλ(α) μοὺς Th 2 [ σκινδαλάμους Tr 1/2 ] ] λεπτολογίας.

sch th-tr nub. 131a ἰτητέον] ἄξιόν ἐστι πορευθῆναι. ἔχων] κατὰ νοῦν.

sch th-tr nub. 131c στραγγεύομαι] ἀργῶ Th 2 Tr 1 , πιέζομαι, συνθλίβομαι Tr 1/2 στρὰγξ γάρ Th 2 [ στρά(γ) ξ Tr 1 στρὰξ δέ Tr 2 ] ἐστιν ὁ διὰ λεπτοτάτης ὀπῆς σχολῇ Tr 1/2 κατιὼν σταλαγμός. κόπτω] κρούω· οὕτως Ἀττικοί.

sch th-tr nub. 132a Tr 2 παῖ] δοῦλε.

sch th-tr nub. 133 Vat solus. βάλ’ Th 2 Tr 1 [ βάλλ’ Tr 2 ] ] ἑαυτόν, Th 2 [ σεαυτόν.

sch th-tr nub. 133a Tr 1/2 ] κόψας] τύψας ἀττικῶς.

sch th-tr nub. 133c κρημνός τις ἦν ἐν Ἀθήναις, ἐν ᾧ τοὺς κακούργους ἔρριπτον καὶ τῷ θανάτῳ παρέπεμπον, οὗ δὴ καὶ κόρακες οἰκοῦντες τὰ νεκρὰ τῶν σωμάτων κατήσθιον. ἀπὸ τούτου οὖν ἡ παροιμία ἐλήφθη τὸ “βάλ’ ἐς κόρακας” καὶ “ἔρρ’ ἐς κόρακας” ἐπὶ τοῦ ἀφανισμοῦ. εἴρηται ἐν τῷ τοῦ Πλούτου δράματι, ὅθεν ἡ παροιμία ἐλήφθη τὸ “βάλλ’ ἐς κόρακας”.

sch th-tr nub. 134 Κικυννόθεν] Κίκυννα χωρίον τῆς Ἀττικῆς. ἀμαθής] ἀπαίδευτος.

sch th-tr nub. 135b σφόδρα] λίαν. ἀπεριμερίμνως] ἀσκόπως.

sch th-tr nub. 137a διὰ τοῦ “ ἐξήμβλωκα ς ” κωμῳδεῖ Σωκράτη Tr 1 [ Σωκράτην Tr 2 ] λέγοντα, ὅτι τέχνην ἔχω τὴν μαιευτικήν, καὶ διὰ ταύτης ποιῶ τοὺς νέους ἀποτίκτειν τὰ κυήματα ἐν τῇ ἑαυτῶν ψυχῇ. ἐξήμβλωκας] ἡμιτελῆ ἐποίησας.

sch th-tr nub. 138 τηλοῦ] πόρρω· ἤγουν εἰς βάθος. τοὐξημβλωμένον Th 2 Tr 1 [ τὸὐξημβλωμένον Tr 2 ] ] τὸ Tr 1/2 ἡμιτετελεσμένον.

sch th-tr nub. 139 Th 2 Tr 1 [ ἡμιτελές. Tr 2 ] πλὴν] εἰ μή.

sch th-tr nub. 140b λέγειν] τοῦτο πρὸς τὸ “ θέμι ς ” σύναπτε. νυν] δή.

sch th-tr nub. 143a ταῦτα] ἃ λέξω. μυστήρια] ἤγουν θεῖα καὶ ἀπόρρητα.

sch th-tr nub. 144 ἀνήρετ’] ἠρώτησεν. ἅλοιτο Th 2 [ ἅλλοιτο Tr 1/2 ] ] ἐπήδησε· διαβάλλει Tr 1/2 δὲ Tr 2 Τοὺς φιλοσόφους ὡς Tr 1/2 τὰ Tr 2 εὐτελῆ ζητοῦντας.

sch th-tr nub. 145 Tr 1/2 κωμῳδεῖ αὐτὸν ὡς μεγάλας ὀφρύας Th 2 [ ὀφρῦς Tr 1/2 ] ἔχοντα.

sch th-tr nub. 146 οἱ γὰρ φιλόσοφοι τήν τε κόμην καὶ τὰς ὀφρῦς καὶ τὸν πώγωνα πάνυ περιττὸν εἶχον. ὁ δὲ Χαιρεφῶν πρὸς τῷ δασύοφρυς εἶναι καὶ ὠχρὸς ὑπῆρχε καὶ μέλας, διὸ καὶ νυκτερὶς ἐκαλεῖτο καὶ πύξινος. Tr 2 ἀφήλατο Th 2 [ ἀφήλλατο Tr 1/2 ] ] ἐπήδησεν.

sch th-tr nub. 147bis praeter LhCant.2. δεξιώτατα] ἐπιτηδείως.

sch th-tr nub. 148 διατήξας] τῷ πυρὶ μαλθάξας ἤτοι Th 2 [ ἤγουν Tr 1 ] ἀναλύσας. Th 2 Tr 1 γελοίου χάριν ταῦτα εἴρηται πάντα· παίζων δὲ καὶ “ τὼ πόδ ε ” εἴρηκεν ἐπὶ τῆς ψύλλης δυϊκῶς· λέγεται γὰρ ἓξ ἔχειν πόδας.

sch th-tr nub. 151a ψυγείσῃ] θανούσῃ. περσικαί] εἶδος ὑποδήματος καὶ περσικαὶ εἶδος δένδρου περσικοῦ, ὃ κοινῶς βερικοκκία Lv [ ῥοδάκινον M9 ] λέγεται.

sch th-tr nub. 151b Tr 2 ταύτας ὑπολύσας] παίζει πάλιν Tr 2 · ἀδύνατον γὰρ ταῦτα, ἅ φησι, γενέσθαι.

sch th-tr nub. 152bis Vat Vd Lv. τῆς] ἕνεκα.

sch th-tr nub. 154a ἄν] ποιήσεις. Th 2 [ ποιήσῃς. Tr 1/2 ] πύθοιο] μάθοις.

sch th-tr nub. 155a φρόντισμα] ἐνθύμημα. ἀντιβολῶ] παρακαλῶ.

sch th-tr nub. 156a ἀνήρετ’] ἠρώτησεν. ὁ Σφήττιος] ὁ ἀπὸ τόπου Σφήττου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch th-tr nub 157a ὁπότερα] ἤγουν πῶς. τὰς ἐμπίδας] τοὺς Tr 1/2 κώνωπας.

sch th-tr nub 157c ἀπὸ τοῦ ἔχειν τοὺς ὦπας ὡς κώνους, εἰς ὀξὺ λήγοντας· ἐμπίδες δὲ ἀπὸ τοῦ ἐμπνέειν ἤτοι ᾄδειν ἀεί. σημείωσαι, ὅτι καλοῦνται τὰ τοιαῦτα ζωΰφια ἔντομά τε καὶ βομβύκια, τὰ μὲν διὰ τὴν ἐν τῇ ῥάχει αὐτῶν ὀπὴν καὶ ἐντομήν, δι᾽ ἧς φθέγγονται, τὰ δὲ διὰ τὸ βομβεῖν.

sch th-tr nub 157d βομβύκια δὲ κυρίως καλεῖται κώνωπες, μυῖαι, μέλισσαι καὶ ὅσα βομβεῖ, ἔντομον δὲ ὁ τέττιξ. τοὐροπύγιον Th 2 τὸὐροπύγιον Tr 1 [ τὸὐρροπύγιον Tr 2 ] τὸν πρωκτόν.

sch th-tr nub 158 Vd Lv soli. διαλέπτου] διόλου στενοῦ. [1]

sch th-tr nub 162a βίᾳ] βιαστικῶς καὶ Th 2 Tr 1 ὑπ᾽ ἀνάγκης. εὐθὺ] ἕως.

sch th-tr nub 162c εὐθὺ] κατ᾽ ὀρθόν. κοῖλον] εὐρύν.

sch th-tr nub 163b στενῷ] ἐντέρῳ. Vat Vd Lv M9 (hic post v.

sch th-tr nub 164 165). ὅτι καὶ ἡ σάλπιγξ τοιαύτη ἐστί, τὰ ἄνω μὲν εὐρεῖα καὶ κοίλη, τὰ κάτω δὲ στενή· διὸ καὶ ὀξὺ ᾄδει.

sch th-tr nub 166 τοῦ διεντερεύματος] ἕνεκα Tr 2 τῆς περὶ τοῦ ἐντέρου λεπτολογίας καὶ φυσιολογίας. φεύγων] κατηγορούμενος.

sch th-tr nub 168 δίοιδε] γινώσκει. praeter LhCant.

sch th-tr nub 168bis 2. ἀσκαλαβώτης ἐστὶ πᾶν ζῷον τὸ χωρὶς κλίμακός τινος ἀναβαῖνον ἐπὶ τὰ μετέωρα.

sch th-tr nub 170b ἀσκαλαβώτου] ἤγουν μυὸς ἢ κάττας. περιφοράς] περιστροφάς.

sch th-tr nub 172a κεχηνότος] χάσκοντος. τῆς ὀροφῆς] τοῦ στέγους.

sch th-tr nub 174 γαλεώτην οἱ μὲν τὴν ἰδιωτικῶς κάταν Th 2 [ κάτταν Tr 1/2 ] φασίν, οἱ δὲ ζῷόν τι ἕτερον αὐτῇ εἰκός. Th 2 [ ἐοικός. Tr 1/2 ] ἑσπέρας] ἐπὶ τῆς.

sch th-tr nub 175b διασύρει τῶν φιλοσόφων τὸν βίον ὡς πενιχρὸν καὶ ἐπίπονον καὶ ἐνδεῶς ἔχοντα καὶ αὐτῆς τῆς ἀναγκαίας τροφῆς. καὶ ταῦτα μέν, φησίν, Tr 2 ὅτι οὐκ ἦν ὑμῖν δεῖπνον ἐν τῇ ἑσπέρᾳ, οὕτως ἔστωσαν, ὡς λέγεις· οὐδὲ αὐτὸς ἀπειθῶ.

sch th-tr nub 176b ἐπαλαμήσατο] ἐμηχανήσατο. εἰκότως δὲ τοῦτο εἶπε διὰ τὸ καὶ τοὺς ἄρτους ὑπὸ τῆς παλάμης πλάττεσθαι. Tr 2 δέον οὕτως εἰπεῖν· εἶτα διαβήτην λαβὼν σχήματά τινα πεποιήκει, εἰς ἃ πάντων ἡμῶν ὁ νοῦς καθάπαξ κεχηνὼς τροφῆς ἐπελάθετο, δέον οὕτως εἰπεῖν, ἐπειδὴ ὁ Σωκράτης ὡς παιδεραστὴς διεβάλλετο καὶ τούτου χάριν εἰς τὰς παλαίστρας ἐφοίτα, ὥστε γυμνοὺς τοὺς παῖδας ὁρᾶν Tr 2 , διὰ τοῦτό φησιν “ ἐκ τῆς παλαίστρας θοιμάτιον ὑφείλετ ο” . [5]

sch th-tr nub 178 τὸ μὲν οὖν “ ὀβελίσκο ς ” εἶπε, διότι καὶ τοῦ διαβήτου τὸ κέντρον σιδηροῦν ἐστι, τὸ δὲ “ κάμψα ς” , διότι ἔμελλεν εἰπεῖν, ὅτι ὑφείλετο· τοιαῦτα γὰρ οἱ κλέπται μηχανῶνται, ἵνα ῥᾳδίως πόρρωθεν ἁρπάσωσιν, ὃ βούλονται. ὑφείλετο] κέκλοφε· δηλοῖ δὲ τὸ κρυφίως.

sch th-tr nub 179 Tr 2 praeter LhCant.

sch th-tr nub 179bis 2. ὁ Θαλῆς Th 2 [ Θαλῆς Tr 1/2 ] οὗτος Μιλήσιος ἦν, εἷς τῶν ἑπτὰ σοφῶν.

sch th-tr nub 180 οὗτος ἄκρος μηχανικὸς ἦν. στρατεύοντος Th 2 Tr 1 δὲ Th 2 [ στρατεύσαντος Tr 2 γὰρ Tr 1/2 ] τοῦ Κροίσου πρὸς Κῦρον καὶ μὴ δυναμένης τῆς στρατιᾶς αὐτοῦ διαβῆναι τὸν Ἅλυν ποταμὸν μέγιστον ὄντα τοιόνδε τι μηχανᾶται. ἄνω τῆς στρατιᾶς ἰὼν τέμνει τὸν ποταμὸν ἑτέρωσε ῥεῖν· οὐ πάντα, ἀλλὰ τὸ ῥεῖθρον αὐτοῦ σχισθὲν τὸ μὲν ἓν εἰς τὴν ἀρχαίαν πορείαν ἐχώρει, θάτερον δὲ ὥσπερ ὑπ᾽ ἀγκάλης εἶχε τὴν στρατιάν· καὶ οὕτως ἐπεραιώθησαν. ἐποίησε δὲ τὴν εἰς δύο τομήν, ἵνα καὶ Tr 1/2 ἐπανιόντες περαιωθήσωνται. ἀνύσας] σπεύσας. [5]

sch th-tr nub 183 μαθητιῶ] ὀρέγομαι μαθητὴς γενέσθαι. ταυτὶ .

sch th-tr nub 184

Eulogikon public reading copy · View original HTML at eulogikon.org

.. θηρία] ἰδὼν τοὺς ἐνταῦθα ὄντας ὠχροὺς τοῦτό φησιν. praeter LhCant.

sch th-tr nub 194bis 2. τῳ̃] τίνι.

sch th-tr nub 185b ἐοικέναι] ὅμοιοι εἶναι. Πύλος νῆσος πλησίον Πελοπονήσου.

sch th-tr nub 186 Th 2 Tr 1 [ Πελοποννήσου. Tr 2 ] ταύτην ἐν τῷ πελοπονησιακῷ Th 2 Tr 1 [ πελοποννησιακῷ Tr 2 ] πολέμῳ Λάχης προκατασχών, ὁ τῶν Ἀθηναίων στρατηγός, φρούριον ὀχυρὸν Th 2 Tr 1 ᾠκοδόμησεν· ὅθεν ἐξορμώμενος τὴν παραλίαν ἐδῄου τῆς Λακωνικῆς. Λακεδαιμόνιοι γοῦν καταλῦσαι τὸ φρούριον θέλοντες ἐπέπλευσαν τῇ νήσῳ καὶ παραστησάμενοι ἄνδρας ἑπτακοσίους ἐντὸς τοῦ φρουρίου κατέλιπον. Ἀθηναῖοι οὖν ἔπεμψαν πολλήν τινα στρατιὰν κατὰ τῶν ἀνδρῶν τούτων μετὰ Κλέωνος στρατηγοῦ. ἐλθὼν οὖν ὁ Tr 2 Κλέων μετὰ τῆς Tr 1/2 στρατιᾶς καὶ πλεῖστον χρόνον τούτους πολιορκήσας ὕστερον παρεστήσατο καὶ αἰχμαλώτους λαβὼν Ἀθήναζε ἤγαγεν, οἳ διά τε τὸν πολὺν λιμόν, ὃν ὑπέστησαν ἐκ τῆς πολιορκίας, καὶ διὰ τὸ κατακλεισθῆναι Ἀθήναζε εἰς εἱρκτὴν πάνυ ὠχροὶ ἦσαν. βολβοὺς] ὕδνα. [10]

sch th-tr nub 188b ἰστέον, ὅτι τὰ ὕδνα τὴν γῆν σκάπτοντες εὑρίσκουσιν ἄνθρωποι. βολβοὺς p.

sch th-tr nub 188c i.m] (cf. 188b) τὰ λεγόμενα ὕδνα, ἅτινα τὴν ... ἄνθρωποι αὐτομάτως φυόμενα. ἵν’] ὅπου.

sch th-tr nub 190b μεγάλοι] βολβοί. praeter LhCant.

sch th-tr nub 191 2. ἐρεβοδιφῶσιν] ἐρευνῶσιν, ἐξετάζουσιν, ζητοῦσιν.

sch th-tr nub 192b Τάρταρός ἐστιν ὁ ὑπὸ γῆν κατώτατος τόπος. (cf.

sch th-tr nub 192c 192b) Τάρταρον] τὸν ὑπὸ τὴν γῆν κατώτατον τόπον λέγουσι Τάρταρον. πρωκτὸς] αὐτῶν.

sch th-tr nub 194 καθ’ αὑτὸν] παίζει ἐνταῦθα. εἴσιθ’] εἰσέλθετε.

sch th-tr nub 195b ’κεῖνος] ὁ Σωκράτης δηλονότι. Th 2 Tr 1 ἀπὸ τοῦ “ εἴσιτ ε ” καὶ τοῦ “ ἐπιμεινάντω ν ” δείκνυται, ὅτι καὶ ἄλλοι τινὲς τῶν Σωκράτους μαθητῶν συνεξῆλθον τῷ μαθητῇ τῷ μετὰ τοῦ Th 2 Tr 1 Στρεψιάδου ὁμιλοῦντι.

sch th-tr nub 198a τὸ “ χο ῖ ” κοινή ἐστι συλλαβή. 198/99] εἰ γὰρ θεάσεται Σωκράτης, δυσχερανεῖ τὰ μέγιστα.

sch th-tr nub 200 τάδ’] ἃ ὁρῶ. ἰστέον, ὅτι οἱ Ἕλληνες, ὅταν παρεστήσαντο πόλιν, τὴν περὶ αὐτὴν γῆν διὰ κλήρου ἐμέριζον· ἢ κληρουχικὴν ἐνταῦθα λέγει τὴν γεωργικήν· κληροῦχοι γὰρ οἱ γεωργοὶ διὰ τὸ τοὺς Αἰγυπτίους κλήρῳ μερίζειν τὴν αὐτῶν γῆν εἰς γεωργίαν.

sch th-tr nub 203b τὴν κληρουχικήν] τὴν ἐκ κλήρου παραδοθεῖσάν τινι. ἀστεῖον] πολιτικόν.

sch th-tr nub 205 δημοτικὸν] σύμφορον τῷ Th 2 Tr 2 δήμῳ. περίοδος] περιήγησις.

sch th-tr nub 208 κατηγορεῖ Ἀθηναίων , ἐνταῦθα Tr 2 ὡς περὶ τὰ δικαστήρια μόνα ἠσχολημένων καὶ τοῦ στρατεύειν ἀμελούντων. τοῦτο δὲ καὶ Δημοσθένης ἔστιν ὅτε ποιεῖ. ὡς] ὄντως.

sch th-tr nub 211 Εὔβοι’] ὁ Εὔριπος. παρατέταται .

sch th-tr nub 212 .. πάνυ] τῷ διαγράμματι· στενοεπιμήκης γάρ ἐστιν. παρετάθη] ηὐξήθη τοῖς φόροις.

sch th-tr nub 213b Περικλῆς παραστησάμενος Εὔβοιαν ἐξέτεινε τοὺς αὐτῆς φόρους ἐπὶ πολύ. τοῦτο δέ Tr 1 [ τοῦτό Tr 2 ] φησιν ὁ Στρεψιάδης οὐ νοήσας τὸ παρὰ τοῦ μαθητοῦ λεγόμενον τὸ “ παρατέταται μακρὰ πόρρω πάν υ” , ὅ τι νοεῖ.

sch th-tr nub 213c ὁ μὲν γὰρ τοῦτο εἴρηκεν, ὅτι μακρὰ καὶ ἐπιμήκης ἡ Εὔβοια, ὁ δὲ τοῦτο Tr 1 ἐπὶ αὐξήσεως τοῦτο Tr 2 φόρων ἐξέλαβε. παραστησάμενος γὰρ Περικλῆς τὴν Εὔβοιαν ἐξέτεινε τοὺς αὐτῆς φόρους ἐπὶ πολύ. τοῦτο οὖν ἔδοξε τῷ Στρεψιάδῃ νοεῖν τὸ “ παρατέταται μακρὰ πόρρω πάν υ” , καὶ διὰ τοῦτό φησιν “οἶδα· ὑπὸ γὰρ ὑμῶν καὶ Περικλέους παρετάθη”. αὑτηΐ] κοινή. [5]

sch th-tr nub 216 ὥσπερ εἶδεν ἐν τῷ διαγράμματι τὴν Λακεδαίμονα πλησίον οὖσαν Ἀθηνῶν, οὕτω καὶ τῇ ἀληθείᾳ ἐνόμισεν εἶναι, καὶ διὰ τοῦτο τοῦτό Th 2 [ ταῦτά Tr 1/2 ] φησιν· εἶχον γὰρ ἀεὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀθηναῖοι πρὸς Λακεδαιμονίους πολέμους καὶ μάχας. οἰμώξεσθ’ ἄρα] συνεχῶς ὑπ’ αὐτῶν ληϊζόμενοι.

sch th-tr nub 220 οὗτος] σύ. τὸ “ μὲν οὖ ν ” ἀντὶ τοῦ “δέ”· ἐμφαίνεται δὲ ἐντεῦθεν αὐτὸς μὲν παραιτούμενος καὶ λέγων· ἐγὼ μὲν οὐ καλέσω, σὺ δὲ κάλεσον αὐτόν.

sch th-tr nub 221 Tr 2 praeter LhCant.

sch th-tr nub 221bis 2. {ἰωνικὸς ἀπὸ μείζονος τρίμετρ[ος] βραχυκατάληκτ[ος ἐκ δύο] ἰωνικῶν ἀπὸ μείζονος καὶ τροχ[αίου] διὰ τὴν ἀδιάφορον}.

sch th-tr nub 222 ὦ Σώκρατες] ἰαμβικὸν Tr 2 μονόμετρον ἀκατάληκτον. Tr 2 ὦ Σωκρατίδιον] ὑποκορίζει αὐτὸν διὰ τὸ μικρὸν εἶναι τῇ ἡλικίᾳ.

sch th-tr nub 223b {ἰωνικὸν ἀπὸ μείζονος ἐκ παιῶνος δ′ ἢ διίαμβον διὰ τὴν κοινὴν τὴν “ μ ε” , καὶ ἰωνικοῦ ἀπὸ μείζονος ** δίμετρον ἀκατάλητον}. ὦ ’φήμερε] γήϊνε καὶ Th 2 θνητέ.

sch th-tr nub 223d τοῦτο δὲ Tr 1 λέγει δεικνύς, ὅτι ἰσόθεον ἑαυτὸν ἐνόμιζεν. (cf.

sch th-tr nub 223e 223c. d) ὦ ’φήμερε] γήϊνε, θνητέ· θεὸν γὰρ ἑαυτὸν ᾤετο. ἀντιβολῶ] παρακαλῶ.

sch th-tr nub 225a περιφρονῶ] ἤγουν περιεργάζομαι καὶ περισκοπῶ τὴν τοῦ ἡλίου πορείαν. ὅτι Tr 2 περιφρονῶ δὲ Tr 1 εἶπε, καὶ οὐ περισκοπῶ, ἵν’, ἐπειδὴ τὸ περιφρονῶ διπλοσήμαντόν ἐστι, καὶ ἀντὶ τοῦ περισκοπῶ καὶ ἀντὶ τοῦ καταφρονῶ, ἀμφότερα εἰς τὸν Σωκράτην νοῶνται, ὅτι τε ἀέρα καὶ ἥλιον καὶ νεφέλας καὶ ὅσα τοιαῦτα ἐφρόντιζε καὶ ἐφιλοσόφει καὶ ὅτι αἰθέριον ἑαυτὸν ἐνόμιζε Th 2 [ ἡγεῖτο Tr 1/2 ] , καὶ ὑπὲρ αὐτὸν μονονοὺ τὸν ἥλιον. [5]

sch th-tr nub 225b ὁ Στρεψιάδης δὲ ἀντὶ τοῦ καταφρονῶ μόνον ἐνόησεν. ταρροῦ] καλαθίσκου· ἐν τούτῳ γὰρ ἐκρέματο.

sch th-tr nub 227a εἴπερ] ἔδει. οὐ γὰρ] ναί.

sch th-tr nub 228 ὀρθῶς] ἀληθῶς καὶ Th 2 Tr 1 ἀκριβῶς. εἰ μὴ] ἐσκόπουν ταῦτα.

sch th-tr nub 230a λεπτὴν] ποταπήν. καταμίξας] ταύτην.

sch th-tr nub 230c ὅμοιον] αὐτῇ. χαμαὶ] ἐν τῇ γῇ.

sch th-tr nub 231b τὸ “ ἐσκόπου ν ” εἰς τὸ “ εἰ μὴ κρεμάσα ς ” λάμβανε ἀπὸ τοῦ “ εἰ δ ’ ὢν χαμαὶ τἄνω κάτωθεν ἐσκόπου ν” · λάμβανε δὲ καὶ εἰς τὸ “ κρεμάσα ς” , εἰ μὲν βούλει, τὸ “ ἐμαυτὸ ν ” ἔξωθεν, οὕτω Th 2 [ οὕτως Tr 1/2 ] · εἰ μὴ κρεμάσας ἐμαυτὸν ἐσκόπουν καταμίξας τὸ νόημα καὶ τὴν φροντίδα εἰς τὸν ὅμοιον ἀέρα ποταπὴν λεπτήν. εἰ δὲ οὐ βούλει τοῦτο ποιῆσαι, οὕτω λέγε· εἰ μὴ ἐσκόπουν κρεμάσας τὸ νόημα καὶ τὴν φροντίδα—καὶ γὰρ ὁ τῷ σώματι κρεμάμενος καὶ τὸν νοῦν αὐτοῦ Th 2 Tr 1 κρεμάμενον ἔχει—καταμίξας ταύτην εἰς τὸν ὅμοιον ἀέρα ποταπὴν λεπτήν. ὅμοιον δὲ εἶπε τὸν ἀέρα τῇ φροντίδι διὰ τὸ τὸν νοῦν ἀσώματον καὶ ἀερώδη εἶναι. οὐ γὰρ] δυνατόν. [5]

sch th-tr nub 233a τὴν ἰκμάδα] τὸ λεπτόν. εἰκότως δὲ Tr 1/2 εἶπε πρὸς τὸ “ ἰκμάδ α ” τὸ “ ἕλκε ι” · τὰς γὰρ ἐκ τῆς γῆς καὶ τῶν ὑδάτων ἰκμάδας ἡλίου ἕλκοντος νέφος συνίσταται.

sch th-tr nub 233b Th 2 [ συνίστασθαί φασιν. Tr 1/2 ] εἴρηται οὖν ἐκ μεταφορᾶς ἐκείνου καὶ τοῦτο. ἢ ὅτι λόγος παρὰ φιλοσόφοις, ὡς ἐπισπᾷ εἰς ἑαυτὴν τὰς ὑποκειμένας οὐσίας ἡ γῆ. παίζων δὲ τοὺς φιλοσόφους ταῦτα λέγει. Tr 1/2 οὐ μόνον τὸ “πάσχει” ἐπὶ τῶν πασχόντων τι λέγεται, ἀλλὰ καὶ ἐπὶ τῶν ποιούντων. [5]

sch th-tr nub 234 καὶ γὰρ οἱ ποιοῦντες τρόπον τινὰ καὶ αὐτοὶ πάσχουσι πάθος, αὐτὸ τὸ ποιεῖν. τὰ οὖν κάρδαμα τὴν τῶν παρακειμένων αὐτοῖς βοτανῶν ὑγρότητα εἰς ἑαυτὰ ἕλκοντα ξηρὰς αὐτὰς καταλείπει, καὶ ἔστι τοῦτο αὐτῶν πάθος. praeter LhCant.

sch th-tr nub 234bis 2. τί φῄς] μονόμετρον βραχυκατάληκτον.

sch th-tr nub 236

236] τοῦτο πρὸς τὴν αὐτοῦ Th 2 Tr 1 τοῦ Στρεψιάδου Tr 1/2 ἀγνωσίαν Th 2 Tr 1 [ ἀμαθίαν Tr 2 ] ἐπιτηδείως Tr 2 ὁ ποιητὴς ἐποίησεν ἀδιανόητον. νυν] δή.

sch th-tr nub 239a κατὰ] εἰς. λέγειν] δημηγορεῖν, ῥητορεύειν.

sch th-tr nub 240a χρήστων] δανειστῶν. χρήστης καὶ ὁ δανείζων καὶ ὁ δανειζόμενος, ὥσπερ καὶ τὸ Th 2 Tr 1 [ ὁ Tr 2 ] δανειστής.

sch th-tr nub 241a μὴ λάβῃς εἰς “ τὰ χρήματ α ” ἔξωθεν τὸ “διά”, ἀλλ’ οὕτω λέγε· ἐνεχυράζομαι τὰ χρήματα, τουτέστιν εἰς Tr 1/2 ἐνέχυρον αὐτὰ ἀφαιροῦμαι. εἰ γὰρ τὸ ἐνέχυρον, ὃ οἱ δανεισταὶ παρὰ τῶν δανειζομένων λαμβάνουσιν, εἰς ἱκάνωσιν τοῦ δανείου λαμβάνουσι, τρόπον τινὰ τὸ ἐνέχυρον αὐτὰ τὰ χρήματά ἐστιν. ἢ τὸ “ χρήματ α ” μὴ νοήσῃς Th 2 α νοήσεις Tr 1 [ νομίσῃς Cant.2β ] τὰ δανεισθέντα, ἀλλ’ ἁπλῶς τὴν ἐνυπάρχουσαν αὐτῷ οὐσίαν· χρήματα γὰρ καὶ Tr 2 τὰ πράγματα· πράγματα δέ φαμεν ἱμάτια, σκεύη , τὰ Th 2 [ καὶ Tr 1/2 ] ἄλλα. λέγομεν δὲ καὶ “χρῆμα λόγων” καὶ “χρῆμα ἀρετῆς”. τὰ χρήματ’] ἃ ἐδανεισάμην. [5]

sch th-tr nub 241c ἐνεχυράζομαι] εἰς ἐνέχυρον ἀφαιροῦμαι. 242] οὕτως εἰώθαμεν Tr 1 [ εἰώθασιν Tr 2 ] ἐρωτᾶν τοὺς νοσοῦντας· πόθεν ἡ νόσος συνέβη σοι; διὸ καὶ ἐπάγει τὴν νόσον.

sch th-tr nub 243a ἐπέτριψεν Th 2 Tr 2 [ ἔτριψεν Tr 1 ] ] ἠφάνισεν. δεινὴ φαγεῖν] ἐπιτηδεία Tr 1/2 ἀναλώσειν τὸν αὐτῇ χρώμενον.

sch th-tr nub 246a πράττῃ] ἀπαιτήσῃς. ὀμοῦμαί] ἐνταῦθα σύναπτε τὸ “ θεού ς” .

sch th-tr nub 246c καταθήσειν] ἀποδώσειν. ὀμῆ(εῖ)] ὀμνύεις.

sch th-tr nub 247b ὀμεῖ] ὀμῇ. ἡμῖν .

sch th-tr nub 248a .. ἔστιν] ἤγουν οὐ νομίζομεν θεούς. τῷ] τίνι.

sch th-tr nub 248c ὄμνυτε Th 2 ὤμνυτ’ Tr 1 [ ὄμνυτ’ Tr 2 ] ] εἰ μὴ θεοῖς. τοῦ νομίσματος δύο σημαίνοντος, τό τε νόμιμον ἔθος καὶ τὸ κόμμα τοῦ τετυπωμένου χαλκοῦ ἢ χρυσοῦ ἐπὶ τοῦ χαλκοῦ ὁ Στρεψιάδης ἐδέξατο, καὶ οὐ πρὸς τὸ ὑπὸ Σωκράτους ῥηθὲν ἀπήντησεν, ἀλλ’ ἔμιξεν ἀμφότερα· ἔδει γὰρ εἰπεῖν· τίσιν ὄμνυτε θεοῖς; ἤ· τίνι χρῆσθε νομίσματι; λεπτῷ δὲ νομίσματι φαίνονται κεχρῆσθαι Βυζάντιοι· διὸ καὶ δωρικῶς εἶπε “ σιδαρέοι ς” · ἢ διὰ τὸ φαυλότατον εἶναι ὡς σιδηροῦν τοῦτο παρείληφε κωμῳδῶν Βυζαντίους. [5]

sch th-tr nub 249a σιδαρέοισιν] νομίσμασιν. σιδαρέοισιν] σιδηρέοισιν.

sch th-tr nub 251a ἐστὶν ὀρθῶς] θεῖα ἀληθῶς. ἔστι Th 2 Tr 1 [ ἐστί Tr 2 ] ] δυνατόν ἐστι.

sch th-tr nub 252 συγγενέσθαι Th 2 [ ξυγγενέσθαι Tr 1/2 ] ] συνελθεῖν βούλει. Tr 1/2 ἡμετέραις Th 2 [ ἡμετέραισι Tr 1/2 ] ] ἃς ἡμεῖς θεὰς νομίζομεν.

sch th-tr nub 254 τὸν ... σκίμποδα] τὸν θεῖον σκάμνον, ἐφ’ οὗ τε ἡμεῖς Th 2 [ ἡμεῖς τε Tr 1/2 ] καθήμεθα καὶ τοὺς τὰ ἡμέτερα μυήσεσθαι Th 2 Tr 1 [ μυεῖσθαι Tr 2 ] μέλλοντας καθίζομεν. λαβέ] ἀττικόν.

sch th-tr nub 257a Ἀθάμας ἐκ Νεφέλης δύο παῖδας ἔσχε, Φρῦξον Th 2 Tr 1 [ Φρύξον Tr 2 ] καὶ Ἕλλην. ἀφεὶς οὖν τὴν Νεφέλην θεὰν οὖσαν, θνητῇ γυναικὶ ἐμίγη. ζηλοτυπήσασα οὖν ἡ Νεφέλη ἀπέπτη εἰς οὐρανὸν καὶ τὸν Th 2 [ τὴν Tr 1/2 ] τοῦ ἀνδρὸς τόπον Th 2 [ χώραν Tr 1/2 ] αὐχμῷ ἐκόλαζε. πέπομφεν οὖν θεωροὺς εἰς Ἀπόλλω Ἀθάμας ἐρέσθαι περὶ τοῦ αὐχμοῦ. ἡ οὖν τούτου γυνὴ θέλουσα Φρῦξον Th 2 Tr 1 [ Φρύξον Tr 2 ] καὶ Ἕλλην ἀπολωλέναι, πέπεικε διὰ δώρων τοὺς θεωροὺς εἰπεῖν Ἀθάμαντι ὡς οὐκ ἂν ἄλλως παύσασθαι τὸν αὐχμὸν ἔχρησεν ἡ Πυθία, εἰ μὴ τοὺς τῆς Νεφέλης θύσειε Th 2 [ θύσαιεν Tr 1/2 ] παῖδας. ἀκούσας οὖν Ἀθάμας μεταπέμπεται τοὺς παῖδας ἐκ τῶν ποιμνίων. εἷς οὖν κριὸς ἀνθρωπίνῃ φωνῇ χρησάμενος λέγει Φρύξῳ καὶ Ἕλλῃ περὶ τῆς σφαγῆς. φευγόντων οὖν τούτων μετὰ τοῦ κριοῦ ἡ μὲν Ἕλλη ἐν τῷ περαιοῦσθαι τὸν ἐν Ἀβύδῳ πορθμὸν ἀπεπνίγη πεσοῦσα ἀπὸ τοῦ κριοῦ Tr 2 · ὅθεν καὶ ἀπ’ ἐκείνης Ἑλλήσποντος κέκληται. Φρῦξος Th 2 Tr 1 [ Φρύξος Tr 2 ] δὲ ἐποχούμενος τῷ κριῷ εἰς τὴν τῶν Κόλχων γῆν

περισῴζεται. ἔνθα καὶ τὸν κριόν, ὃς ὑπὸ θεῶν χρυσόμαλλος γέγονε, θύει τῷ Ἄρει ἢ τῷ Ἑρμῇ, καὶ κατοικήσας αὐτόθι τοὔνομα καταλέλοιπε τῷ τόπῳ· ἐκ τούτου γὰρ ἡ Φρυγία οὕτως ἐκλήθη. Tr 2 Ἀθάμαντα δὲ ἡ Νεφέλη δίκην αὐτῇ δώσειν διὰ τοὺς παῖδας πεποίηκεν. προσαχθεὶς οὖν στεφανηφορῶν ἐν τῷ βωμῷ τοῦ Διὸς σφαγησόμενος ὑπὸ Ἡρακλέους σέσωστο. οὕτω γὰρ Σοφοκλῆς ἐν δράματι πεποίηκεν. Tr 2 ὅπως] ὁρᾶτε.

sch th-tr nub 258a ταῦτα πάντα Th 2 Tr 1 [ πάντα ταῦτα Tr 2 ] ] τὸ καθίζειν ἐπὶ τοῦ σκίμποδος καὶ στεφανοῦν. τοὺς τελουμένους] τοὺς Tr 1/2 μυουμένους, τοὺς διδασκομένους.

sch th-tr nub 258b Tr 1/2 κερδανῶ] ἐντεῦθεν.

sch th-tr nub 260a γενήσει] γενήσῃ. τρίμμα] ἐντριβής, ἔμπειρος.

sch th-tr nub 260c κρόταλον] λάλος, ἀκουστός. Tr 1/2 παιπάλη] λεπτολόγος, λεπτὸς περὶ τὸ λέγειν.

sch th-tr nub 260d Tr 1/2 ἀλλ’ ἔχ’ ἀτρέμας] ἤγουν διάκεισο ἐπὶ τούτοις ἡσύχως.

sch th-tr nub 262a καταπαττόμενος] ὑπὸ σοῦ ταῖς πληγαῖς διὰ τὰ μαθήματα. παιπάλη γενήσομαι] ἤγουν ἀφανισθήσομαι καὶ εἰς οὐδὲν ἔλθω.

sch th-tr nub 262c τελευταῖος τῶν ἰάμβων. praeter Cant.

sch th-tr nub 262 2, qui— (ante vs. > eras., ut vid., Vat). ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ καὶ ἀκατάληκτοι ιβʹ, ὧν τελευταῖος ὑπακούσατε δεξάμεναι θυσίαν καὶ τοῖς ἱεροῖσι χαρεῖσαι.

sch th-tr nub 263b εὐφημεῖν χρὴ τὸν πρεσβύτην : ἡ συστηματικὴ αὕτη ἀμοιβαία τοῦ ὕμνου εἴσθεσις ἐκ στίχων ἐστὶν ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ιβʹ, ὧν τελευταῖος ἐπακούσατε δεξάμεναι θυσίαν καὶ τοῖς ἱεροῖσι χαρεῖσαι. καλεῖται δὲ τὸ μέτρον τοῦτο ἀριστοφάνειον, ὡς εἴπομεν. τὰ τοιαῦτα δὲ εἴδη καλεῖται ἑτερόστροφα. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. σύστημα κατὰ περικοπὴν στίχων ιβʹ.

sch th-tr nub 263d εὐφημεῖν] εὔφημα λέγειν. τῆς εὐχῆς] ἣν αὐτὸς εὔξομαι.

sch th-tr nub 263 ※ Vat solus; add. ἑτερόστροφα. ἀμέτρητ’] ἄπειρε.

sch th-tr nub 264b μετέωρον] κρεμαμένην. Αἰθὴρ] πῦρ.

sch th-tr nub 265b βροντησικέραυνοι] αἱ τὰς βροντὰς καὶ τοὺς κεραυνοὺς ποιοῦσαι. ἄρθητε] ὑψώθητε· σύναπτε δὲ Tr 1/2 τὸ “ ἄρθητ ε ” Th 2 Tr 1 πρὸς τὸ “ μετέωρο ι” .

sch th-tr nub 266b τῷ φροντιστῇ] ἐμοὶ τῷ περὶ ὑμῶν φιλοσοφοῦντι. praeter LhCant.

sch th-tr nub 266 2. μήπω μήπω γε] ἀρθήτωσαν· ἐπαναδίπλωσις τὸ σχῆμα.

sch th-tr nub 267a Tr 1 [ τὸ σχῆμα ἐπαναδίπλωσις. Tr 2 ] τουτὶ] τὸ ῥάκος, ὃ ἐν χερσὶ φέρω.

sch th-tr nub 267c πτύξωμαι] ἐντυλιχθῶ. καταβρεχθῶ ] ἤγουν μοσχεύσω.

sch th-tr nub 268a κυνῆν] περικεφαλαίαν, σκιάδειον. κυνῆ λέγεται κυρίως ἡ τῶν ἀγροίκων περικεφαλαία, ἐπειδὴ τὸ πρῶτον ἀπὸ κυνείων δερμάτων κατεσκευάσθη.

sch th-tr nub 268c 268] οὐ μωρόν, οὐκ ἀνόητον; ἐλλιπὲς γὰρ εἴρηται. praeter LhCant.

sch th-tr nub 268 2. πολυτίμητοι] πολλοῦ ἄξιαι.

sch th-tr nub 269b τῷδ’] τῷ Στρεψιάδῃ. ἐκ τῆς ἐν τοῖς ὄρεσι χιόνος καὶ ποταμῶν καὶ πηγῶν καὶ λιμνῶν καὶ θαλάττης αἱ νεφέλαι συνίστανται τὸ ὑγρὸν ἐντεῦθεν ἀνιμωμένου ἡλίου.

sch th-tr nub 270a ἐμψυχοποιεῖ δὲ νῦν αὐτὰς τὰς νεφέλας παίζων καὶ κωμῳδῶν ἐντεῦθεν Σωκράτη. Ὀλύμπου] ὄρους.

sch th-tr nub 270c χιονοβλήτοισι] ταῖς ὑπὸ χιόνος ἀεὶ βαλλομέναις. κήποις] ἄλσεσι καὶ δρυμοῖς.

sch th-tr nub 271b ἵστατε] ποιεῖτε. Νύμφαις] σὺν Tr 2 ταῖς τῶν ἐκεῖσε Th 2 Tr 1 [ ἐκεῖ Tr 2 ] πηγῶν θεαῖς.

sch th-tr nub 272a προχοαῖς] προχύσεσι, ἀκταῖς. χρυσέοις] συνίζησις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch th-tr nub 272c προχόῃσιν Th 2 [ πρόχουσιν Tr 1/2 ] ] ἀγγείοις, ξεστίοις. Tr 1 γρ.

sch th-tr nub 272d προχόοις Tr 1 · καὶ ἔστιν ἡ εὐθεῖα Tr 2 ὁ πρόχοος, ὁ πρόχους. Μαιῶτιν λίμνην] αὕτη ἐν Σκυθίᾳ ἐστίν.

sch th-tr nub 273b σκόπελον] κορυφήν. νιφόεντα] χιονώδη.

sch th-tr nub 273d Μίμαντος] ὄνομα ὄρους τῆς Μυσίας. Tr 1/2 ὑπακούσατε Th 2 [ ἐπακούσατε Tr 1/2 ] ] ἐμοῦ.

sch th-tr nub 274b θυσίαν] ἣν ὑμῖν ἐγὼ θύσω. Th 2 [ θύω. Tr 1/2 ] ἱεροῖς Th 2 [ ἱεροῖσι Tr 1/2 ] ] θύμασι.

sch th-tr nub 274d φανεῖσαι] παραγενόμεναι. χαρεῖσαι] εὐφρανθεῖσαι.

sch th-tr nub 274f τελευταῖος τῶν ἀναπαίστων. Vat Vd Lv.

sch th-tr nub 275a ἀέννασι] ἀίδιαι. ἡ τοῦ χοροῦ ᾠδὴ κώλων ις′, ὧν τὸ α′ “ ἀέναοι Νεφέλα ι ” δακτυλικὸν πενθημιμερές· τὸ β′ “ ἀρθῶμεν φανερα ὶ ” πενθημιμερὲς ὅμοιον· τὸ γ′ “ δροσερὰν φύσιν εὐάγητον {ἀ [ φεῖσα ι]}” ἀναπαί στικὸν [ἐφ] θημιμερέσ {στικὸν δίμετρον· ἔχει δὲ εἰς τὸ “ εὐα – ” συνίζησιν}· τὸ δ′ “ πατρὸς ἀ π ’ Ὠκεανοῦ βαρυαχέο ς ” δακτυλικὸς τετράμετρος ἀκατάληκτος· τὸ ε′ “ ὑψηλῶν ὀρέων κορυφὰς ἐπ ὶ ” ὅμοιοσ δακτυλικὸς τετράμετρος· τὸ ς′ “ δενδροκόμους ἵν α ” δακτυλικὸν δίμετρον· τὸ ζ′ “ τηλεφανεῖς σκοπιὰς ἀφορώμεθ α ” δακτυλικὸς τετράμετρος· τὸ η′ “ καρπούς τ ’ ἀρδομέναν θ ’ ἱερὰν χθόν α ” ὅμοιοσ δακτυλικὸς τετράμετρος· τὸ θ′ “ καὶ ποταμῶν ζαθέων κελαδήματ α ” ὅμοιον τούτοις· τὸ ι′ “ καὶ πόντον κελάδοντα βαρύβρομο ν ” ὅμοιος τετράμετρος· τὸ ια′ “ ὄμμα γὰρ αἰθέρο ς ” δακτυλικὸν δίμετρον· τὸ ιβ′ ” ἀ κάματον σελαγεῖτα ι ” δακτυλικὸς τρίμετρος· τὸ ιγ′ “ μαρμαρέαισιν ἐν αὐγαῖ ς ” ὅμοιος· τὸ ιδ′ “ ἀλ λ ’ ἀποσεισάμεναι νέφος ὄμβριο ν ” δακτυλικὸς τετράμετρος· [τὸ ιε′] “ ἀθανάταις ἰδέαις ἐπιδώμεθ α ” ὅμοιος· τὸ ις′ “ τηλεσκόπῳ ὄμματι γαῖα ν ” ἀναπαιστικὸν ἐφ[θημιμερ]ές.

sch th-tr nub 275b beta {*** [τὸ ιβ′] ” ἀ [ κ ά ]ματον σελαγεῖτα ι ” δακτυλικὸν ὅμοιον [τρί]μετρον ἀκατάληκτον [, εἰ δὲ βούλει, τετράμετρον] βραχυκατάληκτον· τ[ὸ ιγ′ “ μα ρ ]μαρέαισιν ἐν αὐγαῖ ς ” [δακτυλικὸν] τρίμετρον ἀκατάληκτον· τὸ [ιδ′ “ ἀλ λ ’ ἀποσεισάμεναι νέφο ς ] ὄμβριο ν ” δακτυλικὸν τετράμετρον· τὸ ι[ε′] ” ἀ θανάταις ἰδέαις ἐπιδώμεθ α ” ὅμοιον τετράμετρον δακτυλικόν· τὸ ις′ “ τηλεσκόπῳ ὄμματι γαῖα ν ” ἀναπαιστικὸν ἑφθημιμερές.} ἀέναοι Νεφέλαι : ἡ ἐπεισόδιος αὕτη στροφὴ καὶ ᾠδὴ τοῦ χοροῦ κώλων ἐστὶ ις′, ὧν τὰ πρῶτα δύο δακτυλικὰ πενθημιμερῆ, ἃ καλεῖται ἀρχιλόχεια, ὡς Ἡφαιστίων φησί, διὰ τὸ τὸν Ἀρχίλοχον τούτοις χρήσασθαι ἐν ἐπῳδῷ· ἔχει δὲ τὸ πενθημιμερές, ὡς εἴρηται, πόδας δύο καὶ συλλαβήν· τὸ γ′ ἀναπαιστικὸν ἑφθημιμερές, ὃ καλεῖται, ὡς εἴρηται, παροιμιακόν, ἔχει δὲ πόδας γ′ καὶ συλλαβήν, ὡς εἴρηται· τὸ δ′ δακτυλικὸν τετράμετρον ἀκατάληκτον, ὃ καλεῖται καὶ αὐτὸ ἀρχιλόχειον· καὶ τούτῳ γὰρ οὗτος ἐν ἐπῳδοῖς ἐχρήσατο, ὡς Ἡφαιστίων φησί, τετράμετρον δὲ εἴρηται, διότι κατὰ μονοποδίαν μετρεῖται τὰ δακτυλικά· τὸ ε′ ὅμοιον· τὸ ς′ δίμετρον ἀκατάληκτον· τὸ ζ′ ὅμοιον τῷ δ′· τὸ η′, τὸ θ′ καὶ τὸ ι′ ὅμοια· τὸ ια′ ὅμοιον τῷ α′· τὸ ιβ′ ἀναπαιστικὸν πενθημιμερές· τὸ ιγ′ δακτυλικὸν τρίμετρον κατὰ μονοποδίαν.

sch th-tr nub 275c τὸ ιδ′ ὅμοιον τῷ δ′· τὸ ιε′ ὅμοιον· τὸ ις′ “ τηλεσκόπῳ ὄμματι γαῖα ν ” ἀναπαιστικὸν ἑφθημιμερές, ὃ καλεῖται, ὡς εἴρηται, παροιμιακόν· ἔστι γὰρ κοινὴ συλλαβὴ τὸ “ π ῳ ” διὰ τὸ ἔχειν ἔμπροσθεν φωνῆεν. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα δηλοῦσα τὴν στροφὴν ἔχειν ἀνταπόδοσιν. ᾠδὴ καὶ στροφὴ κώλων ις′.

sch th-tr nub 275e ἀέναοι] κατὰ τὴν δροσερὰν φύσιν τὴν Tr 2 εὐάγητον· ἐνταῦθα γὰρ συνάπτεται. Tr 2 ἀρθῶμεν] ὑψωθῶμεν.

sch th-tr nub 276b φανεραί] ποταπαί. ⁜ Vat solus (post ἀρθῶμεν φανεραὶ, sc.

sch th-tr nub 276 primi vs. alt. colon). δροσερὰν] ὑδατώδη.

sch th-tr nub 277b εὐάγητον] εὐκίνητον· τοιοῦτον γὰρ τὸ ὕδωρ. τὸ “ ἀφεῖσα ι ” οὐκ ἦν ἔν τινι παλαιᾷ λίαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch th-tr nub 277d τινὲς εἰς τὸ “ δροσερὰν φύσιν εὐάγητο ν ” προστιθέασιν “ἀφεῖσαι”, ἵνα ἐντεῦθεν τὰς τοιαύτας αἰτιατικὰς συντάξωσι· τοῦτο δὲ οὔτε τὸ μέτρον ἀπαιτεῖ— ὅμοιον γὰρ καὶ ἰσόμετρον ὀφείλει εἶναι τῷ τῆς ἀντῳδῆς τρίτῳ κώλῳ Tr 2 —οὔτε ἔν τινι τῶν ἀρχαίων βιβλίων εὕρηται. συντάσσεται δὲ οὕτω. Tr 1 [ οὕτως. Tr 2 ] ὦ Νεφέλαι ἀέναοι φύσιν δροσερὰν εὐάγητον. ὥσπερ γάρ φαμεν· ἀγαθός εἰμι τόδε, καί· δυνατὸς τὰ τοιαῦτα, οὕτω καί· ἀέναος τόδε, νοουμένης ἔξωθεν ἐν πᾶσι τοῖς τοιούτοις τῆς κατά. οὕτω λέγε, καὶ μή· ἀέναοι ἤγουν ἀεὶ νάουσαι δροσερὰν φύσιν. {[ἤγουν καταλεί]ψ[ασαι] τὸ ὕδωρ φανῶμεν κεναί, εἰς ἐπίδειξιν μόνον, καὶ οὐ τοῦ βρέξαι χάριν. [5]

sch th-tr nub 277e } σύναπτε δὲ Tr 2 τὸ “ ἀ π ’ Ὠκεανο ῦ ” πρὸς τὸ “ ἀρθῶμε ν” , τὸ δὲ “ ἀρθῶμε ν ” πρὸς τὸ “ κορυφὰς ἐπὶ δενδροκόμου ς” .

sch th-tr nub 278b βαρυηχέος Th 2 [ βαρυαχέος Tr 1/2 ] ] τοῦ μεγάλως ἠχοῦντος τοῖς κύμασιν. δενδροκόμους] δενδρώδεις.

sch th-tr nub 280a Th 2 Tr 1 [ ἐν δένδροις κομώσας. Tr 2 ] ἵνα] ὅπου.

sch th-tr nub 281a τηλεφανεῖς] μακρόθεν φαινομένας. σκοπιὰς] θέας.

sch th-tr nub 281c ἀφορώμεθα] βλέπομεν. ἀρδομέναν] ποτιζομένην τοῖς νάμασιν.

sch th-tr nub 282b ἱερὰν χθόνα] τὴν θείαν Ἀττικήν. ζαθέων] λίαν θαυμαστῶν ἢ ταχυτάτων.

sch th-tr nub 283b κελαδήματα] ἤχους. κελάδοντα] ἠχοῦντα.

sch th-tr nub 284b βαρύβρομον] μεγαλόηχον. Th 2 Tr 1 [ μεγάλως ἠχοῦντα. Tr 2 ] ὄμμα γὰρ αἰθέρος] ἡ ἐπιφάνεια τοῦ ἀέρος· ἢ τὸν ἥλιον.

sch th-tr nub 285a Tr 1 εἰώθασιν οἱ φιλόσοφοι αἰθέρος ὄμμα καλεῖν τὸν ἥλιον.

sch th-tr nub 285b Tr 1 [ τὸν ἥλιον καλεῖν. Tr 2 ] ἀκάματον] ἀκατάπαυστον.

sch th-tr nub 286b σελαγεῖται] καταλάμπεται· διὸ καὶ ἡμεῖς δῆλαι πᾶσι δόξαιμεν. μαρμαραίῃσιν Th 2 [ μαρμαρέαισιν Tr 1/2 ] ] λαμπραῖς· ἀπὸ τοῦ μαρμαίρω.

sch th-tr nub 287a Tr 2 αὐγαῖς] λαμπηδόσι.

sch th-tr nub 288a ἀποσεισάμεναι] ἀπορρίψασαι. ὄμβριμον Th 2 [ ὄμβριον Tr 1/2 ] ] ὑδατῶδες.

sch th-tr nub 289a ἀθανάταις] θείαις. ἰδέαις] θεωρίαις.

sch th-tr nub 289c ἐπιδώμεθα] θεασώμεθα. τηλεσκόπῳ] μακρὰν βλέποντι.

sch th-tr nub 290bis < ( tantum Cant.2 Vd). ὦ μέγα σεμναὶ Νεφέλαι : τὸ μερικὸν τοῦτο ἀμοιβαῖον σύστημα ἐκ στίχων ἐστὶν ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ζʹ.

sch th-tr nub 291a λέγεται δὲ τοῦτο σύστημα κατὰ περικοπὴν ἀνομοιομερές, ὡς Ἡφαιστίων φησίν. ἐπὶ τῷ τέλει παράγραφος. σύστημα κατὰ περικοπὴν στίχων ζʹ.

sch th-tr nub 291c μέγα] λίαν. καλέσαντος] ἐπικαλεσαμένου ὑμᾶς.

sch th-tr nub 292a ᾔσθου] αἰσθητικῶς Th 2 [ αἴσθησιν Tr 1/2 ] ἔλαβες, ὦ Στρεψιάδη. μυκησαμένης] ἠχησάσης δίκην βοός.

sch th-tr nub 292b Tr 2 θεοσέπτου] θείας.

sch th-tr nub 292d μηχάνημά τι ἦν ἐν τῇ σκηνῇ βροντεῖον καλούμενον, οὗ ὁ κτύπος εἰς βροντῆς ἀπήχησιν ἐσχηματίζετο· ἦν δὲ ἀμφορεὺς ἢ λέβης χαλκοῦς ψηφίδας ἔχων ἐντός, ὃς κυλιόμενος ἦχον ἀπετέλει. καὶ] ᾐσθόμην.

sch th-tr nub 293b σέβομαί] αὐτάς. ὦ πολυτίμητοι] τοῦτο διὰ μέσου.

sch th-tr nub 295 χεσείω] μέλλω χεσεῖν. σκώψῃς] φλυαρήσῃς· ἢ ἀτιμάσῃς αὐτάς.

sch th-tr nub 296b

οἱ τρυγοδαίμονες] οἱ ἄλλοι κωμικοί. οἱ ἄλλοι κωμικοί· οὗτοι γὰρ Th 2 Tr 1 [ ὅτι οἱ ἄλλοι κωμικοὶ Tr 2 ] ἐν τοῖς ποιήμασιν αὐτῶν ἀνθρώπους εἰσῆγον χέζοντάς τε καὶ ἕτερα αἰσχρὰ ποιοῦντας.

sch th-tr nub 296c λέγει δὲ δι’ Εὔπολιν καὶ Κρατῖνον καὶ τοὺς ἄλλους. τρυγοδαίμονας δὲ τούτους καλεῖ, διότι πάντες Th 2 Tr 1 [ τὸ πρῶτον Tr 2 ] οἱ κωμῳδοὶ Th 2 Tr 1 [ κωμῳδοῦντες Tr 2 ] τρυγίαν ἀνηλείφοντο Th 2 [ ἠλείφοντο Tr 1/2 ] τοῦ μὴ γινώσκεσθαι, τίνες εἰσίν. Tr 2 εὐφήμει] εὔφημα λέγε.

sch th-tr nub 297b σμῆνος] πλῆθος κυρίως τῶν μελισσῶν. Tr 2 ἀοιδαῖς] τοῖς Tr 2 ἡμετέροις ὕμνοις.

sch th-tr nub 297 praeter LhCant.2. ἡ τοῦ χοροῦ ἀντῳδὴ ὁμοία τῇ ᾠδῇ κώλων οὖσα καὶ αὐτὴ ἰσομέτρων ις′, ὧν τὸ α′ “ παρθένοι ὀμβροφόρο ι ” ὅμοιον τῷ α′· τὸ β′ “ ἔλθωμεν λιπαρὰ ν ” ὅμοιον τῷ β′· τὸ γ′ “ χθόνα Παλλάδος εὔανδρον γᾶ ν ” ἀναπαιστικὸν ὅμοιον τῷ γ′· τὸ δ′ “ Κέκροπος ὀψόμεναι πολυήρατο ν ” δακτυλικὸν ὅμοιον τῷ δ′· τὸ ε′ “ οὗ σέβας ἀρρήτων ἱερῶν ἵν α ” δακτυλικὸν ὅμοιον τῷ ε′· τὸ ς′ “ μυστοδόκος δόμο ς ” δακτυλικὸν ὅμοιον τῷ ς′· τὸ ζ′ “ ἐν τελεταῖς ἁγίαις ἀναδείκνυτα ι ” δακτυλικὸν ὅμοιον τῷ ζ′· τὸ η′ “ οὐρανίοις τε θεοῖς δωρήματ α ” δακτυλικὸν ὅμοιον τῷ η′· τὸ θ′ “ ναοί θ ’ ὑψερεφεῖς καὶ ἀγάλματ α ” δακτυλικὸν ὅμοιον τῷ θ′· τὸ ι′ “ καὶ πρόσοδοι μακάρων ἱερώτατα ι ” δακτυλικὸν ὅμοιον τῷ ι′· τὸ ια′ “ εὐστέφανοί τε θε – ” ὅμοιον τῷ ια′· τὸ ιβ′ ”–ῶν θυ [ σίαι θαλίαι τ ε] ” δακτυλικὸν ὅμοιον τῷ ιβ′· τὸ ιγ′ “ παντοδάπαισιν ἐν ὥραι ς ” δακτυλικὸν ὅμοιον τῷ ιγ′· τὸ ιδ′” ἦρί τ ’ ἐπερχομένῳ βρομία χάρι ς ” δακτυλικὸν ὅμοιον τῷ ιδ′· τὸ ιε′ “ εὐκελάδων τε χορῶν ἐρεθίσματ α ” δακτυλικὸν ὅμοιον τῷ ιε′· τὸ ις′ “ καὶ μοῦσα βαρύβρομος αὐλῶ ν ” ἀναπαιστικὸν ὅμοιον τῷ ις′.

sch th-tr nub 298b παρθένοι ὀμβροφόροι : ἡ ἀντῳδὴ αὕτη τοῦ χοροῦ κώλων ἐστὶν ὁμοίων τῇ ᾠδῇ κατὰ πάντα ις′, ὧν τελευταῖον “ καὶ μοῦσα βαρύβρομος αὐλῶ ν. ” ἐπὶ τῷ τέλει δύο διπλαῖ, ἡ μὲν κατ’ ἀρχὰς τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος, καὶ ἀμφότεραι ἔξω νενευκυῖαι δηλοῦσαι, ὅτι τέλος ἔσχε τὰ ἀνταποδιδόμενα. ἀντῳδὴ καὶ ἀντιστροφὴ κώλων ις′.

sch th-tr nub 299 λιπαρὰν εἰς τὴν Tr 2 εὔγαιον. ⋇ Vat solus (post primi vs.

sch th-tr nub 299bis alt. col. ἔλθωμεν λιπαρὰν) . ἐς Th 2 χθόνα] τὴν Ἀττικήν.

sch th-tr nub 300b Παλλάδος] τῆς Ἀθηνᾶς. εὔανδρον] καλοὺς ἄνδρας ἔχουσαν.

sch th-tr nub 300c Th 2 Tr 1 [ τὴν καλοὺς ἔχουσαν ἄνδρας. Tr 2 ] Κέκροπος] οὗτος ἦν ὁ τῶν Ἀθηναίων Th 2 Tr 1 [ γὰρ τῶν Ἀθηναίων ἦν Tr 2 ] ἀρχαιόγονος.

sch th-tr nub 301b πολυήρατον] τὴν πάνυ ἐπέραστον. οὗ] ὅπου.

sch th-tr nub 302b σέβας] ἡ Tr 1/2 τιμή ἐστιν. ἐν τῇ Ἐλευσῖνι τῆς Ἀττικῆς ἐτελοῦντο τὰ μυστήρια τῆς Δήμητρος, ἃ μόνοις Ἀθηναίοις νόμος ἦν μυεῖσθαι, ξένοις δὲ οὔ.

sch th-tr nub 302c ἦσαν δὲ ἄρρητα πρὸς τοὺς μὴ τετελεσμένους Th 2 Tr 1 [ τελουμένους Tr 2 ] αὐτά· ὃς δὲ πρός τινα ταῦτα Tr 1/2 ἐξεῖπεν, ὑπεύθυνος ἦν θανάτου αὐτός τε καὶ πρὸς ὃν ἐξεῖπεν. ἱερῶν] τῶν Th 2 μυστηρίων.

sch th-tr nub 302e ἵνα] ὅπου. μυστοδόκος δῆμος Th 2 [ δόμος Tr 1/2 ] ] μυστήρια δεχόμενος καὶ τελούμενος.

sch th-tr nub 303 Th 2 Tr 1 [ ὁ τοὺς μύστας δεχόμενος ναός. Tr 2 ] τελεταῖς] ἑορταῖς τῆς Δήμητρος.

sch th-tr nub 304b ἀναδείκνυται] φαίνεται ἤγουν ἐστίν. Tr 2 οὐρανίοις] καὶ ὅπου εἰσίν.

sch th-tr nub 305b ἢ τὸ “ δωρήματ α ” ἀντὶ τοῦ “ἃ οἱ θεοὶ ἐδωρήσαντο” νοητέον· Tr 2 ἡ γὰρ Δημήτηρ αὐτοῖς τὸν σῖτον ἔδωκε καὶ Ἀθηνᾶ τὴν ἐλαίαν καὶ Ποσειδῶν πρώτους εἶναι τὰ ναυτικὰ καὶ ἄλλοι ἄλλ’ ἅττα. Th 2 [ ἄλλάττα Tr 1/2 ] · ἢ τὸ “ δωρήματα θεοῖ ς ” Th 2 Tr 1 ἀντὶ τοῦ “θυσίαι τοῖς θεοῖς” Tr 2 νοητέον. δωρήματα] θυσίαι.

sch th-tr nub 306

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑψιρεφεῖς] ὑψηλοί. πρόσοδοι p.

sch th-tr nub 307a i.m.] πανηγύρεις· εἰσέφερον γὰρ Th 2 Tr 1 [ εἰσφοραί. τὸ “ πρόσοδο ι ” ἢ ὅτι εἰσέφερον Tr 2 ] Ἀθηναῖοι ἐν ταῖς ἑορταῖς κοινῇ δῶρά τινα Tr 2. ἢ ὅτι προσήρχοντο ἐν αὐταῖς πάντες. μακάρων] θεῶν.

sch th-tr nub 307c εἰκότως δὲ Tr 2 εἶπε τὸ “ ἱερώτατα ι” , ἐπειδὴ Th 2 Tr 1 [ ἐπεὶ Tr 2 ] καὶ ἄλλαι πρόσοδοί εἰσι, καὶ οὔκ εἰσιν ἱεραί. εὐστέφανοί] στεφανηφοροῦντες γὰρ τὰς θυσίας τοῖς θεοῖς Tr 2 ἐτέλουν.

sch th-tr nub 309 θαλίαι] πανηγύρεις. παντοδαπαῖς Th 2 [ παντοδαπαῖσιν Tr 1/2 ] ἐν ὥραις] ἤγουν ἐν παντὶ τῷ ἔτει.

sch th-tr nub 311a ἦρί τ’ ἐπερχομένῳ] ἔαρι· τότε γὰρ ἐτέλουν τὰ Διονύσια. βρομία] διονυσιακή.

sch th-tr nub 312a εὐκελάδων] ἐμμελῶν, εὐήχων. Tr 1/2 ἐρεθίσματα] κινήματα, στροφαί.

sch th-tr nub 313a μοῦσα] ᾠδή Tr 2 , ἠχώ. βαρύβρομος] μεγάλως ἠχοῦσα.

sch th-tr nub 313c αὐλῶν] ὀργάνων μουσικῶν 〈313〉 praeter < om.

sch th-tr nub 313 in Cant.2. πρὸς τοῦ Διὸς ἀντιβολῶ σε : εἴσθεσις διπλῆς ἀμοιβαίας καθόλου Tr 2 στίχων οὖσα Tr 1 [ ἐκ στίχων Tr 2 ] ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν καὶ ἀκαταλήκτων Tr 1 ρκε′, ὧν τελευταῖος διὰ τοὺς ἵππους τοὺς κοππατίας καὶ τὸν γάμον, ὅς μ’ ἐπέτριψεν.

sch th-tr nub 314 καλεῖται δὲ τὸ μέτρον ἀριστοφάνειον, ὡς εἴρηται. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Tr 2 ※ Lv solus (ante vs. [5]

sch th-tr nub 314bis ) . ἡρῷναί] ἡρωΐδες.

sch th-tr nub 315b τὸ “ἡρῷναι” ἀττική ἐστι συναίρεσις, ὡς τὸ “ἠίθεοι ᾔθεοι”, “ἠιόνες ᾐόνες” καὶ “σφῶιν σφῷν”. ἥκιστ’] οὐδαμῶς.

sch th-tr nub 316b ἀνδράσιν ἀργοῖς] τοῖς φιλοσόφοις καὶ ποιηταῖς, οἳ μηδὲν ἄλλο μεταχειρίζονται, ἢ περὶ λόγους σχολάζουσιν. (cf.

sch th-tr nub 316c 316b) ἄνδρας ἀργοὺς τοὺς φιλοσόφους λέγει καὶ ποιητὰς καὶ ἄλλους τοιούτους, οἳ ... σχολάζουσιν. γνώμην] ἐνθυμήματα, γνῶσιν.

sch th-tr nub 317a Tr 2 διάλεξιν] εὐπορείαν Th 2 [ εὐπορίαν Tr 1/2 ] εἰς τὸ διαλέγεσθαι.

sch th-tr nub 318a τερατείαν] παραδοξολογίαν. περίλεξιν] εὐπορίαν καὶ περιττότητα λόγων.

sch th-tr nub 318b Th 2 Tr 1 [ λέξεων. Tr 2 ] κροῦσιν] ποικιλίαν καὶ στροφὰς λόγων, δι’ ὧν τοὺς διαλεγομένους σοφιζόμεθα καὶ ἀπατῶμεν.

sch th-tr nub 318d κατάληψιν] γνῶσιν τῶν ὄντων, καθὰ ὄντα ἐστίν. πεπότηται] μετέωρος γέγονε.

sch th-tr nub 320a περὶ καπνοῦ φησι στενολεσχεῖν Tr 2 ἤγουν περὶ τοῦ τυχόντος ἢ περὶ Tr 2 ἀνυποστάτου πράγματος ποικίλα καὶ λεπτὰ διεξέρχεσθαι, ὡς εἰς στενὸν κομιδῇ τοὺς διαλεγομένους καθιστᾶν μὴ ἔχοντας, ὅ τι ἀπολογήσονται. περὶ καπνοῦ] περὶ τοῦ τυχόντος.

sch th-tr nub 320c στενολεσχεῖν] λεπτῶς φιλοσοφεῖν. γνωμιδίῳ] ἄλλου ἀνδρός.

sch th-tr nub 321b γνώμην] ἡμετέραν. νύξας’] συγκρούσασα καὶ συνάψασα.

sch th-tr nub 321d ἀντιλογῆσαι] ἀντειπεῖν. νυν] δή.

sch th-tr nub 323b δευρί] ἐνταυθοῖ Th 2 [ ἐνταῦθα Tr 2 ] , ὅπου τῷ δακτύλῳ δεικνύω. Πάρνηθ’] ὄρος Ἀττικῆς.

sch th-tr nub 323d εἰκότως εἶπε πρὸς τὴν Πάρνηθα κατέρχεσθαι αὐτάς, ὅπερ ὄρος ἐστὶ τῆς Ἀττικῆς Tr 2 · πᾶσαι γὰρ αἱ τῶν ὀρῶν κορυφαὶ διὰ τὸ ὕψος ἀεὶ συννεφεῖς φαίνονται. κατιούσας] ἐνταυθοῖ ἐξ ὕψους κατερχομένας.

sch th-tr nub 325a τῶν κοίλων] τοῦ ὄρους. πλάγιαι] οὕτω γὰρ αἱ νεφέλαι ὑπὸ τοῦ ἀέρος φέρονται.

sch th-tr nub 326a ὡς] ὅτι. τὴν εἴσοδον] τὴν εἰσβολὴν τοῦ ὄρους.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch th-tr nub 327a λημᾷς] τζυμβλώττεις. κολοκύνταις] ἐν.

sch th-tr nub 327c οἱ θέλοντες συντάξαι τὴν δοτικὴν καὶ διὰ τοῦτο οὕτω λέγοντες· εἰ μὴ λημᾷς καὶ λήμας ἔχεις ὁμοίας κολοκύνταις, χαιρόντων. Th 2 [ λημῶσι τὰς τοῦ νοῦ κόρας. Tr 2 ] σὺ δὲ οὕτω λέγε· εἰ μὴ λημᾷς ἐν κολοκύνταις. ὥσπερ γάρ φαμεν “νοσῶ ἐν φρενίτιδι”, οὕτω δέον εἰπεῖν “εἰ μὴ λημᾷς ἐν λήμαις”, “ κολοκύνται ς ” εἶπε δεικνύων διὰ τούτων τὴν ὑπερβολὴν τῆς λημότητος. ἔγωγ’] ὁρῶ. [5]

sch th-tr nub 328b ὦ πολυτίμητοι] τοῦτο διὰ μέσου. πολυτίμητοι] Νεφέλαι.

sch th-tr nub 328d πάντα ... κατέχουσιν] ἐν παντὶ τῷ ἀέρι ἐξεχύθησαν. ᾔδεις] ἐγίνωσκες.

sch th-tr nub 330a μὰ Δι’] οὔ. ὀμίχλην καὶ δρόσον] τοιαύτη γὰρ ἡ τῶν νεφελῶν ἰδέα καὶ φύσις.

sch th-tr nub 331a οὐ γὰρ κτλ.] ναί, οὕτως ἥγου· ἥκιστα γὰρ αὐτὰς ἐγίνωσκες θεάς. ἴσθ’] γίνωσκε.

sch th-tr nub 331c σοφισταὶ οἱ ῥήτορες καὶ οἱ ἀπατεῶνες καὶ οἱ διδάσκαλοι καὶ ὅσοι τῶν φιλοσόφων ῥητορικῶς ἔγραψαν. ἐνταῦθα δὲ σοφιστὰς τοὺς διδασκάλους νόει, ὡς τοὺς ἄλλους σοφίζοντας. θουριομάντεις] Θούριόν ἐστι Th 2 τόπος, ἐν ᾧ πρῶτον οἱ μάντεις εὕρηνται.

sch th-tr nub 332b ἰατροτέχνας] ἰατρικῆς ἐπιστήμονας. σφραγιδονυχαργοκομήτας λέγει τοὺς Tr 2 δακτυλίους μετὰ σφραγίδων φοροῦντας καὶ ὄνυχας λευκοὺς τῇ συνεχεῖ ξέσει ἔχοντας καὶ κομῶντας τὴν κεφαλήν.

sch th-tr nub 332c τοῦτο δὲ λέγει κωμῳδῶν ἐνίους τῶν σοφιστῶν οὕτω διακειμένους καὶ καλλωπιζομένους. Tr 2 οἱ λυρικοὶ ποιηταὶ χοροῖς καὶ αὐλοῖς καὶ λύραις τὰ ποιήματα ᾖδον.

sch th-tr nub 333a καὶ νῦν μὲν οἱ τούτων χορευταὶ ἐνταυθοῖ τὰς μετακλίσεις καὶ τὰς καμπὰς ἐποιοῦντο, νῦν δὲ ἐνταυθοῖ, ἀκολουθοῦντες τῷ ᾄσματι. λέγει οὖν τοὺς τοιούτους ποιητὰς “ ᾀσματοκάμπτα ς. ” κυκλίων τε χορῶν] τοὺς διθυραμβοποιοὺς λέγει.

sch th-tr nub 333c μετεωροφένακας p.i.m.] διὰ τοῦ λέγειν ἐπίστασθαι τὰ μετέωρα ἀπατῶντας τοὺς πολλούς. μουσοποιοῦσι Th 2 [ μουσοποιοῦσιν Tr 2 ] ] ἤγουν ποιητικῶς ὑμνοῦσιν.

sch th-tr nub 334bis praeter LhCant.2 (evan. in Lv?). ἐποίουν] ποιητικῶς ἔγραφον.

sch th-tr nub 335b τὸ “ ὑγρᾶν νεφελᾶν ”, τὸ Th 2 “ στρεπταίγλᾶ ν ” Th 2 [ στρεπταιγλᾶ ν ” Tr 2 ] , τὸ “ δάϊον ὁρμά ν” , τὸ “ πλοκάμους θ’ ἑκατοντακεφάλα Τυφ ῶ” , τὸ “ πρημαινούσας τε θυέλλα ς ” καὶ τῶν λοιπῶν ἕκαστον, πάντα ταῦτα ἔκ τινων ποιητῶν εἰσιν ἄλλου ἄλλο Th 2 [ ἄλλο ἄλλου Tr 2 ] γράψαντος καὶ τοῦ μὲν τοῦτο, τοῦ δὲ ἐκεῖνο. ἔστι δὲ ἡ γενικὴ τὸ “ ὑγρᾶν νεφελᾶ ν ” καὶ τὸ “ στρεπταιγλᾶ ν ” οὐ πρός τι συντασσομένη, ἀλλ’ οὕτως ἦν ἐν τοῖς ποιήμασιν ἐκείνοις· διὸ καὶ αὐτὸς οὕτως ἔθηκε. λέγουσι δ’ ἔνιοι τὸ “ δάϊον ὁρμά ν ” πρὸς τὰς τοιαύτας γενικὰς ἀποδίδοσθαι φάσκοντες ἑνὸς εἶναι ποιητοῦ πᾶν τοῦτο· σὺ δὲ καὶ τοῦτο κἀκεῖνο ἐπίστασο. τὸ αὐτὸ δὲ νοήσεις καὶ πρὸς τὸ “ δροσερᾶν νεφελᾶ ν” · ἢ γὰρ καὶ αὕτη ἡ γενικὴ οὕτως ἔχει, ὥσπερ ἐκείνην ἔφαμεν, ἢ πρὸς τὸ “ ὄμβρους ὑδάτω ν ” ἐστίν. εἰ δὲ “ στρεπταίγλα ν ” γράψεις —οὕτω γὰρ ἐν τοῖς παλαιοτέροις τῶν ἀντιγράφων εὕρηται—Tr 2 , οὕτως ἐρεῖς· στρεπταίγλαν ὑγρῶν νεφελῶν. ὑγρᾶν] ὑγρῶν; νεφελᾶν] νεφελῶν; στρεπταίγλᾶν] στρεπταίγλῶν; ὁρμάν] ὁρμήν. [10]

sch th-tr nub 335d στρεπταίγλᾶν p.i.m.] Th 2 στρεπταίγλη ἐστὶν Th 2 [ δέ ἐστιν Tr 2 ] ἡ νεφέλη ἡ ἐστραμμένη καὶ ἐναντία τῇ αἴγλῃ. δάϊον p.

sch th-tr nub 335e i.m.] Th 2 τὸ “ δάϊον ὁρμά ν ” Th 2 [ “ δάϊο ν ” δὲ ὁρμὴν Tr 2 ] τὴν ταχυτάτην ὁρμὴν νόει. οἱ δὲ “ στρεπταίγλα ν ” φασὶ τὴν στρέφουσαν τὴν τοῦ ἡλίου αἴγλην. νεφέλης γὰρ ἐπιτεθείσης τῷ ἡλίῳ οὐκέτι τὰς ἀκτῖνας εἰς τὴν γῆν ἀφίησιν. Tr 2 πλοκάμους] στροφὰς καὶ περιελιγμούς· λέγει δὲ τὰς νεφέλας.

sch th-tr nub 336b

πρημαινούσας τε θυέλλας] πεφυσσημένας Th 2 [ πεφυσημένας Tr 2 ] καὶ μαινομένας πνοάς· πρῆσαι γὰρ τὸ φυσσῆσαί Th 2 [ φυσῆσαί Tr 2 ] ἐστιν. διεράς] διύγρους νεφέλας.

sch th-tr nub 337b γαμψοὺς p.i.m.] καμπύλους ταῖς ῥισὶ καὶ τοῖς ὄνυξι· τοιαῦται δ’ ἔσθ’ ὅτε αἱ νεφέλαι φαίνονται. τὸ δὲ “ ἀερονηχεῖ ς ” ἀντὶ τοῦ Th 2 “εἰς τὸν ἀέρα νηχομένους”. Th 2 [ νηχομένας”. Tr 2 ] κεστρῶν Th 2 [ κεστρᾶν Tr 2 ] ] ἰχθύων Tr 2 κεφάλων· κεστρεὺς γὰρ ὁ κέφαλος.

sch th-tr nub 339a Tr 2 τεμάχη] κομμάτια.

sch th-tr nub 339c ἀγαθᾶν] καλῶν. ὀρνίθεια κιχλῶν Th 2 [ κιχηλᾶν Tr 2 ] ] δέον “ὀρνιθείων κιχλῶν” εἰπεῖν.

sch th-tr nub 339d “ ὀρνίθει α ” εἶπε πρὸς τὸ “ κρέ α” . praeter LhCant.

sch th-tr nub 339 2 M9 τάσδ’] τὰς λέξεις, Tr 2 τὰς προσηγορίας.

sch th-tr nub 340b δικαίως] κατέπινον. εἴξασι] ὡμοιώθησαν.

sch th-tr nub 341 Th 2 [ ὡμοίωσαν ἑαυτάς. Tr 2 ] ἐκεῖναι] αἱ νεφέλαι.

sch th-tr nub 342b τοιαῦται] ἤγουν Th 2 γυναικοειδεῖς καὶ θνηταί. δείκνυσιν ἐντεῦθεν Th 2 [ ἐνταῦθα Tr 2 ] ὁ Σωκράτης, ὡς ἐν ὅσῳ τις βλέπει τὰς νεφέλας τοῦτο τὸ σχῆμα ἐχούσας, μεταστραφεὶς ἀλλοίας ὁρᾷ.

sch th-tr nub 342c διό “φέρε, ποῖαι γάρ τινές εἰσι”; λέγει, ἵνα μεταστραφεὶς ἀλλοίας αὐτὰς ἴδῃ καὶ θαυμάσῃ τὴν τούτων μεταβολήν. Tr 2 εἴξασι] ὡμοιώθησαν.

sch th-tr nub 343a Th 2 [ ὡμοίωσαν ἑαυτάς. Tr 2 ] γοῦν Th 2 [ δ’ οὖν Tr 2 ] ] γάρ.

sch th-tr nub 343c ἐρίοισι] μαλίοις. Th 2 [ μαλλίοις. Tr 2 ] πεπταμένοισι Th 2 [ πεπταμένοισιν Tr 2 ] ] ὑπ’ ἀέρος Th 2 [ ἐπὶ τοῦ ἀέρος Tr 2 ] διαλελυμένοις.

sch th-tr nub 347 ἔγωγ’] πάντα ταῦτα εἶδον. ἄγριόν] ἤγουν πέρα Th 2 Tr 1 [ πόρρω Tr 2 ] τοῦ δέοντος.

sch th-tr nub 349b τῶν λασίων] τῶν δασυτρίχων. τούτων] τῶν παρεστώτων ἐνταῦθα.

sch th-tr nub 349c Tr 1 τὸν Ξενοφάντου] υἱόν, ὃν Th 2 Tr 1 [ υἱόν.

sch th-tr nub 349d τοῦτον Tr 2 ] ὡς πέρα τοῦ μετρίου κομήτην ὄντα Th 2 Tr 1 [ ὄντα κομήτην Tr 2 ] κωμῳδεῖ. κενταύροις] μεγάλας γὰρ χαίτας οἱ Κένταυροι ἔχουσιν· ἢ διὰ τὸ ὑψοῦ μετεωρίζειν τὴν κεφαλὴν τοῦτο λέγει.

sch th-tr nub 350 Tr 2 δημοσίων] πραγμάτων.

sch th-tr nub 351b ὁ Σίμων οὗτος τῶν κοινῶν πραγμάτων ἐπιμελητὴς ὢν πολλὰ ἐσφετερίζετο· διὸ καὶ κωμῳδεῖ αὐτόν, ἵνα ἢ παύσηται τοῦ ἁρπάζειν ἢ ἀκούσαντες οἱ Ἀθηναῖοι εἰς εὐθύνας αὐτὸν ἀγάγωσιν, ὧν κατεδήδοκεν. αὐτοῦ] ὅτι ἁρπακτικός ἐστιν.

sch th-tr nub 352b λύκοι ... ἐγένοντο] ἅρπαγες γὰρ καὶ οἱ λύκοι. Κλεώνυμον] ἢ τὸν Κλέωνα λέγει ἢ ἕτερον Κλεώνυμον τοὔνομα.

sch th-tr nub 354 ἔλαφοι ... ἐγένοντο] δειλότατον γὰρ τὸ τῶν ἐλάφων γένος ὡς ἄχολον. Κλεισθένην] τοῦτον ὡς μαλακὸν καὶ θηλυδρίαν διαβάλλει.

sch th-tr nub 357 praeter LhCant.2. θηρατὰ] ζητητά.

sch th-tr nub 358b σύστημα κατὰ περικοπὴν στίχων ϛ′. λήρων] δέον “ λόγω ν ” εἰπεῖν παίζων παρ’ ὑπόνοιαν “ λήρω ν ” εἶπεν.

sch th-tr nub 360 μετεωροσοφιστῶν] τῶν τὰ μετέωρα διδασκόντων. οὕτως ἡ ἀκολουθία τοῦ λόγου ἦν· “πλὴν ἢ Προδίκῳ καὶ σοί”· ὁ δὲ ἄλλως τὸν λόγον ἐσχημάτισε, τὸ μὲν “σοί” κατ’ ἀρχὰς οὐκ εἰπών, ἔπειτα δὲ ἐπενεγκών.

sch th-tr nub 361a μέμνηται δὲ νῦν τοῦ Προδίκου διασύρων, ὅτι μεγίστην δόξαν εἶχε περὶ ἑαυτοῦ, ὡς ὑπὲρ πάντας ὢν τῇ σοφίᾳ. πλὴν] χωρίς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch th-tr nub 362a βρενθύει(ῃ)] κομπάζεις καὶ ὑπεροπτικῶς βαίνεις. βρενθύει] βρενθύῃ.

sch th-tr nub 362c ἴδιόν ἐστι τῶν ἀλαζόνων τὸ μὴ ἔχειν ἀεὶ τὸ βλέμμα ἐπὶ ταὐτοῦ, ἀλλ’ ἄνω καὶ κάτω κινεῖν, καὶ νῦν μὲν ἐνταῦθα, νῦν δ’ Th 2 Tr 1 [ δὲ Tr 2 ] ἄλλοσε μεταφέρειν. σκώπτει οὖν τὸν Σωκράτην ὡς ὑπ’ ἀλαζονείας τοὺς ὀφθαλμοὺς μεταφέροντα. Tr 2 παραβάλλει] παραβάλλῃ.

sch th-tr nub 363a τὸ “ ἀνέχε ι ” διφθογγογραφεῖται ἀττικῷ ἔθει. ἐκεῖνοι γὰρ πάντα τὰ δεύτερα πρόσωπα τοῦ παθητικοῦ διὰ διφθόγγου ἐκφέρουσιν, ὅθεν καὶ ἡμεῖς μόνα τὰ τέσσαρα διφθογγογραφοῦμεν· ὄψει, βούλει, οἴει καὶ εἰ. ἀνέχει] ἀνέχῃ.

sch th-tr nub 363c κἀφ’ ἡμῖν] ἤγουν Th 2 α διότι τὰ ἡμέτερα ἐπίστασαι. σεμνοπροσωπεῖς] σεμνύνῃ.

sch th-tr nub 363 Vat Vd (evan. Lv), om. cett. τερατῶδες] παράδοξον καὶ οὐ σύνηθες.

sch th-tr nub 365a αὗται] ναί. ὅτι εὕρηται καὶ “φλύηρος” ἰωνικῶς· διὰ τοῦτό ἐστι τὸ α μακρόν.

sch th-tr nub 368 ἀπόφηναι] ἀπόδειξον. τῷ νυνὶ λόγῳ] ἤγουν τῷ περὶ τῶν Νεφελῶν.

sch th-tr nub 372b εὖ προσέφυσας] καλῶς καὶ ὡς ἔδει προσήρμοσας. φράσον] μοι.

sch th-tr nub 377 κᾆτα κρημνάμεναι Th 2 Tr 1 [ κατακρημνάμεναι Tr 2 ] ] ἤγουν κρεμάμεναι καὶ κάτω διὰ τὸ βάρος νεύουσαι. ῥήγνυνται] σχίζονται.

sch th-tr nub 378b παταγοῦσιν] ἠχοῦσιν. αἰθέριος δῖνος] ἡ τοῦ οὐρανοῦ καὶ τοῦ ἀέρος συστροφή.

sch th-tr nub 380b δῖνον τοῦ Σωκράτους εἰπόντος τὴν τοῦ ἀέρος συστροφὴν Στρεψιάδης σκεῦός τι ἐνόησε(ν) κεράμειον Tr 2 οὕτω καλούμενον, ὃ κοινῶς κουρελὸν ὀνομάζουσιν, ὅπερ ἄνω εὐρύτερον ὂν κάτω εἰς ὀξὺ λήγει. Tr 2 οὐδέπω κτλ.

sch th-tr nub 382 ] παρίστησιν ἐντεῦθεν τὴν αὐτοῦ ἄνοιαν καὶ ἐπιλησμοσύνην. Tr 2 ἤδη] ποτέ.

sch th-tr nub 386b ἑορτὴ ἦν Tr 2 Ἀθηνᾶς τὰ Παναθήναια, ἐν ᾗ ζῴων πολλῶν σφαττομένων οἱ μὲν Tr 2 τῆς καλλίονος μοίρας ἄνθρωποι τὰ κρέα Th 2 [ κρέατα Tr 1/2 ] ἤσθιον, οἱ πένητες δὲ τοὺς ζωμούς. Παναθήναια δὲ ἐκλήθη διὰ τὸ πάντας Ἀθηναίους τε καὶ Ἕλληνας ἐκεῖ συναθροίζεσθαι. Tr 2 διεκορκορύγησεν] ἤχησεν· ἔστι δὲ Tr 2 ποιὰ φωνή.

sch th-tr nub 390a alpha τοῦτο εὑρέθη γεγραμμένον ἐν παλαιῷ· ὅτι τὸ ἓν τῶν ἀντιγράφων βιβλίων πέντε παπα εἶχεν, τὸ δὲ ἕτερον τρία. νῦν δὲ ἑπτὰ παπα γρά[φε] , μήτε πέντε μηδὲ τρία· ἄμετρος ὁ στίχος γὰρ τῶν ἑπτὰ δίχα. μὴ πέντε, μὴ τέσσαρα, μὴ τούτων ἄνω παπα δοκῶν ἔμμετρον εὑρεῖν τὸν στίχον, ὡς ἄμετρος πέφυκε τῶν ἑπτὰ δίχα.

sch th-tr nub 390b ἐπάγει] πα δῆτα. Vat solus.

sch th-tr nub 392 τυννουτουὶ] μικροῦ. ὁμοίω] ἤγουν Tr 2 πάρισα καὶ ἰσοκατάληκτα.

sch th-tr nub 396a καταφρύγει] διόλου καίει. τοὺς δὲ ζῶντας] ἤγουν Tr 2 τοὺς πλουσίους.

sch th-tr nub 396c περιφλύει] ἐξ ἐπιπολῆς καίει. ἵης’] πέμπει.

sch th-tr nub 398a Κρονίων] ἀρχαιότητος καὶ μωρίας. ἤρισαν πρὸς ἀλλήλους περὶ ἀρχαιότητος Φρύγες καὶ Παφλαγόνες.

sch th-tr nub 398b ἐμβαλόντες οὖν εἰς οἶκον ἀρτιγενὲς νήπιον προσέταξαν τῇ τούτου μητρί, ἵνα μετὰ σιγῆς εἰσιοῦσα τοῦτο θηλάζῃ. αὐξηθέντος οὖν τούτου καὶ πρῶτον εἰπόντος· βέκ, ὃ φρυγιστὶ τὸν ἄρτον δηλοῖ, δῆλον ἐγένετο, ὅτι Φρύγες ἁπάντων εἰσὶν ἀρχαιότεροι. ἔστιν οὖν τὸ βεκεσέληνος Th 2 [ βεκκεσέληνος Tr 1/2 ] συντεθὲν ἔκ τε τοῦ βὲκ καὶ τοῦ σελήνη, οἱονεὶ ἀρχαῖος καὶ πρὸ τῆς Th 2 Tr 1 σελήνης. ἄκρον] ἀκρωτήριον. [5]

sch th-tr nub 402 παθὼν] μαθών. Vat solus.

sch th-tr nub 403 φαίνει] φαίνῃ. μετεωρισθεὶς] ἤγουν ἐκ γῆς ὑψωθείς.

sch th-tr nub 405 κύστιν] φύσκαν. ῥήξας] σχίσας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch th-tr nub 406b σοβαρὸς] ταχὺς καὶ μετὰ σφοδρότητος. ἐντεῦθεν δῆλον, ὡς πυκνότατόν ἐστι Tr 2 τὸ τῶν νεφελῶν σῶμα· εἰ γὰρ ἦν ἀραιόν, διεφορεῖτ’ ἂν ὁ ἄνεμος Tr 2 κατ’ ὀλίγον.

sch th-tr nub 407 τοῦ ῥοίβδου καὶ τῆς ῥύμης] τοῦ ἤχου καὶ Th 2 Tr 1 τῆς ὁρμῆς. τῇ γὰρ τῶν νεφελῶν πρὸς ἀλλήλας συγκρούσει ἐκκαιόμενος πῦρ καθίσταται λεπτυνθείς. Tr 2 Vat solus.

sch th-tr nub 408a νὴ Δί’] εὖ λέγεις. γοῦν] γάρ.

sch th-tr nub 408c ἀτεχνῶς] φανερῶς. ἑορτὴ ἦν Tr 2 Διὸς τὰ Διάσια τελουμένη ἐν Ἀθήναις μηνὸς Ἀνθεστηριῶνος ἤτοι Ἀπριλλίου φθίνοντος.

sch th-tr nub 408d Tr 2 ὤπτων] ἔβραζον.

sch th-tr nub 409b γαστέρα] κοιλίαν. τοῖς συγγενέσιν] ἤγουν σὺν τοῖς Tr 1/2 συμπεφυκόσι κοπρίοις.

sch th-tr nub 409d ἔσχων] ἔσχισα. τὸ “ οὐκ ἔσχω ν ” ἀντὶ τοῦ “οὐκ ἔσχαζον”.

sch th-tr nub 409e ὥσπερ δὲ τὸ χλοῶ καὶ χλοάζω, καὶ χνοῶ καὶ χνοάζω, οὕτω καὶ σχῶ σχάζω. ἀττικῶς τὸ “ οὐκ ἔσχω ν ” ἀντὶ τοῦ “ἔσχισα”, ἀπὸ τοῦ σχάω σχῶ, ἐξ οὗ γίνεται καὶ τὸ σχάζω· ὥσπερ γὰρ ἀπὸ τοῦ χλοῶ γίνεται τὸ χλοάζω καὶ ἀπὸ τοῦ χνοῶ τὸ χνοάζω, οὕτω καὶ ἀπὸ τοῦ σχῶ τὸ σχάζω.

sch th-tr nub 410a διαλακήσασα(–κίσ–)] ἦχον τῇ ῥήξει ποιήσασα. διαλακήσασα] διαλακίσασα.

sch th-tr nub 411 προσετίλησεν] οἰκείως τῷ “ ἐτίλησε χρῆται ὡς Tr 1 [ οἰκεῖον τὸ “ ἐτίλησε ν ” Tr 2 ] ἐπὶ κοιλίας. Vat Lv M9.

sch th-tr nub 412 σύστημα κατὰ περικοπὴν στίχων η′. γενήσει] γενήσῃ.

sch th-tr nub 414 τὸ ταλαίπωρον] τὸ ἐπίπονον καὶ σπουδαῖον. καὶ] εἰ.

sch th-tr nub 415b μὴ] οὐ. κάμνῃς Th 2 [ κάμνεις Tr 1/2 ] ] ἀπαγορεύῃς.

sch th-tr nub 415c Th 2 [ ἀπαγορεύεις. Tr 1/2 ] ἄχθει] ἄχθῃ.

sch th-tr nub 416b ἀριστᾶν] ἤγουν τρυφᾶν. ἀπέχει] ἀπέχῃ.

sch th-tr nub 417b ἀνοήτων] ἀφροδισίων καὶ πάντων Th 2 Tr 1 [ τῶν ἄλλων Tr 2 ] τῶν ἐκ μωρίας γινομένων. εἰκὸς] νομίζειν.

sch th-tr nub 418b δεξιὸν] ἐπιτήδειον, σοφόν. τῇ γὰρ γλώττῃ πολεμοῦσι τοῖς ἐναντίοις οἱ ῥήτορες· ἤσκουν γὰρ μετὰ τῶν ἄλλων Ἀθηναῖοι καὶ τοῦτο.

sch th-tr nub 419b ἐκ τούτων δείκνυσι τῶν τριῶν, ὡς οὗτος ἄριστος ἐν ἀνθρώποις, ὃς ἔν τε πράξει καὶ βουλῇ καὶ λόγῳ τοὺς ἄλλους νικᾷ. Vat Lv M9.

sch th-tr nub 420 δυσκολοκοίτου] κακοπαθείας μεστῆς καὶ Th 2 Tr 1 ἐπιπόνου· οἱ γὰρ φροντίζοντες δυσχεραίνουσιν ἐν στρωμναῖς κείμενοι. Tr 2 φειδωλοῦ] ἐστενωμένης.

sch th-tr nub 421b τρυσιβίου] κεκολασμένης περὶ τὴν ζωήν. θρύμβη Th 2 [ θύμβρη Tr 1/2 ] ἐστὶ βοτάνη ἐλάχιστος Th 2 Tr 1 [ ἐλαχίστη Tr 2 ] καὶ φαύλη, ἣν οἱ κοινοὶ καλοῦσι θρύμπηνTr 2.

sch th-tr nub 421c τὸν οὖν φειδωλῶς Th 2 Tr 1 [ φειδωλὸν Tr 2 ] καὶ εὐτελῶς ζῶντα καλοῦμεν Th 2 Tr 1 [ εἰώθαμεν καλεῖν Tr 2 ] θρυμβεπίδειπνον. Th 2 [ θυμβρεπίδειπνον. Tr 1/2 ] ἀμέλει] διὰ τοῦτο.

sch th-tr nub 422b ἕνεκα τούτων] τοῦ εὐδαίμονα γενέσθαι με. ἐπιχαλκεύειν] τὰ δεινότατα ποιεῖν.

sch th-tr nub 422c Th 2 Tr 1 [ πάσχειν. Tr 2 ] παρέχοιμ’ ἄν] ἐμαυτὸν τοῖς φιλοσόφοις.

sch th-tr nub 423a ἀλλ’ ὅτι] σκόπει. θεῶν] συνίζησις.

sch th-tr nub 424a τὸ Χάος] τὴν τοῦ ἀέρος διάχυσιν. τὴν γλῶτταν] τὴν στωμυλίαν.

sch th-tr nub 425 ἄλλοις] θεοῖς. σπείσαιμ’] φιλίαν ποιήσαιμι.

sch th-tr nub 426b οὐδ’ ἐπιθείην] ἄν. νυν] δή.

sch th-tr nub 427b ὡς] ὅτι. οὐκ ἀτυχήσεις] τῆς ἐπιθυμίας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch th-tr nub. 432 νικήσει] ἤγουν εἴποι. στρεψοδικῆσαι] διὰ στροφῆς καὶ ποικιλίας λόγων τὸ δίκαιον διαφθεῖραι.

sch th-tr nub. 434b ὅτι ἀπὸ τοῦ στρεψοδικῆσαι τὸ Στρεψιάδης πεποίηται· ἢ ἀπὸ τοῦ ἥδεσθαι τῇ στροφῇ. Tr 2 διολισθεῖν] ἐκφυγεῖν.

sch th-tr nub. 435 τεύξει] τεύξῃ. κοπατίας ἵππους ἔλεγον τοὺς ἐν τῷ μηρῷ κάπα ἔχοντας κεχαραγμένον.

sch th-tr nub. 438a Tr 2 ἄλλοι δέ φασι τοὺς ἄνω καὶ κάτω χωροῦντας καὶ κοπτομένους τοῖς δρόμοις, ἃ οἱ θρασεῖς τῶν ἵππων ποιοῦσιν. τελευταῖος τῶν τετραμέτρων ἀναπαίστων.

sch th-tr nub. 438 > Vat Lv Cant.2. νῦν οὖν χρήσθων : ἐντεῦθεν ἡ περίοδος τῆς διπλῆσ ἄρχεται κώλων οὖσα ιη′, ὧν τὸ πρῶτον “ νῦν οὖν χρήσθων ἀτεχνῶς ὅ τι βούλοντα ι ” τρίμετρον βραχυκατάληκτον· τὸ β′ “ τουτὶ τό γ’ ἐμὸν σῶ μ ’ αὐτοῖσι ν ” δίμετρον ὅμοιον κατ[α] ληκτικὸν εἰς δισύλ[λαβον] · τὸ γ′ “ παρέχω τύπτειν πεινῆν διψῆ ν ” δίμετρον ὅμοιον ἀκατάληκτον · τὸ δ′ “ αὐχμεῖν ῥιγοῦν ἀσκὸν δείρει ν ” ὅμοιον· τὸ ε′ “ εἴπερ τὰ χρέα διαφευξοῦμα ι ” ὅμοιον· τὸ ς′ “ τοῖς τ ’ ἀνθρώποις εἶναι δόξ ω ” ὅμοιον δίμετρον· τὸ ζ′ “ θρασὺς εὔγλωττος τ [ ολμηρὸ ς ] ἴτη ς ” ὅμοιον· τὸ η′ “ βδελυρὸς ψευδῶ [ ν συ γ ]κολλητή ς ” ὅμοιον· τὸ θ′ “ εὑρησιεπὴς περίτριμμα δικῶ ν ” ὅμοιον δίμετρον· τὸ ι′ “ κύρβις κρόταλον κίναδος τρύμ η ” ὅμοιον· τὸ ια′ “ μάσθλης εἴρων γλοιὸς ἀλαζώ ν ” [ὅμ] οιον· [τὸ ιβ′] “ κέντρων μιαρό ς ” δίμετρον κατὰ μονοποδίαν· τὸ ιγ′ “ στρόφις ἀργαλέος ματ{ι}ολοιχό ς ” δίμετρον καταληκτικὸν εἰς συ[λλαβήν· τὸ ιδ′] “ ταῦ τ ’ εἴ με λέγου ς ’ ἀπαντῶντε ς ” ὅμοιον· τὸ ιε′ “ δρώντων ἀτεχνῶς ὅ τι χρῄζουσι ν ” ὅμοιον καταληκτικὸν εἰς δισύλλαβον · τὸ ις′ “ κἢν βούλωνται νὴ τὴν Δήμη – ” ὅ[μοιον]· τὸ ιζ′ “ τ ρ ’ ἐκ μοῦ χορδὴ ν ” δίμετρον ὅμοιον τῷ ιβ′· τὸ ιη′ “ τοῖς φροντισταῖς παραθέντω ν ” δίμετρον καταληκτικὸν εἰς συλλαβήν, ὃ καλεῖται ἑφθημιμερές. [15]

sch th-tr nub. 439b ἀναπαιστικὰ τρίμετρα καὶ δίμετρα κῶλα ιη′. νῦν οὖν χρήσθων ἀτεχνῶς : ἡ ἔκθεσις τῆς διπλῆς κώλων ἐστὶν ὁμοίων ἀναπαιστικῶν ιη′, ὧν τὸ α′ τρίμετρον βραχυκατάληκτον· τὸ β′ δίμετρον καταληκτικὸν εἰς δισύλλαβον· τὸ γ′ ὅμοιον δίμετρον ἀκατάληκτον· τὸ δ′, τὸ ε′, τὸ ς′, τὸ ζ′, τὸ η′, τὸ θ′, τὸ ι′, τὸ ια′ ὅμοια δίμετρα ἀκατάληκτα· τὸ ιβ′ ἀναπαιστικὴ βάσις· τὸ ιγ′, τὸ ιδ′, τὸ ιε′, τὸ ις′ δίμετρα ἀκατάληκτα· τὸ ιζ′ ἀναπαιστικὴ βάσις, ὃ καλεῖται παρατέλευτον· τὸ ιη′ “ τοῖς φροντισταῖς παραθέντω ν ” ἑφθημιμερές, ὃ καλεῖται παροιμιακόν, ὡς εἴρηται. [5]

sch th-tr nub. 439c ἐπὶ τῷ τέλει δύο διπλαῖ συνήθως ἔξω νενευκυῖαι. χρήσθων] ἐμοί.

sch th-tr nub. 439e ἀτεχνῶς] ἀληθῶς. αὐχμεῖν] αὐχμοῦν.

sch th-tr nub. 442b δέρειν] δαίρειν. (1) δαίρειν] ἤγουν τὸ σῶμα τύπτειν δίκην ἀσκοῦ.

sch th-tr nub. 442c (2) δέρειν] ἤγουν τὸ σῶμα ἐκδέρειν. ἴτης] ὁρμητικός.

sch th-tr nub. 446 βδελυρός] μιαρός, αἰσχρός. Tr 2 περίτριμμα δικῶν] τετριμμένος καὶ Tr 2 ἔμπειρος περὶ τὰς δίκας.

sch th-tr nub. 448a κύρβης Th 2 [ κύρβις Tr 1/2 ] ] νόμων πλήρης. κύρβις ἡ στήλη, ἐν ᾗ γεγραμμένοι ἦσαν οἱ νόμοι.

sch th-tr nub. 448c κρόταλον] πολυλόγος. κίναδος] πανοῦργος.

sch th-tr nub. 448e κίναδος πᾶν θηρίον ἀξιοῦσι καλεῖσθαι, ἰδίως δὲ τὴν ἀλώπεκα. τρύμη] λεπτολόγος.

sch th-tr nub. 449a μάσθλης οἱονεὶ μεμαλαγμένος καὶ εὐκόλως ἀπ’ ἄλλου εἰς ἄλλο μεταχωρῶν. μάσθλης] μεμαλαγμένος.

sch th-tr nub. 449c γλοιός] γλίσχρος. κέντρων] δίκην κέντρου ἀπαντῶν τοῖς ἄλλοις καὶ κεντῶν.

sch th-tr nub. 450 Tr 2 στρόφις] ἤγουν Tr 1 ἐστραμμένος περὶ λόγους.

sch th-tr nub. 451b ἀργαλέος] χαλεπός. ματιολοιχός] φειδωλὸς καὶ οὐ προϊέμενός τι τῶν αὐτοῦ.

sch th-tr nub. 452 καλοῦσιν Th 2 καλοῦς’ Tr 1 [ λέγουσιν Tr 2 ] ] οἱ ἄνθρωποι. δρώντων] ὁ Th 2 Tr 1 Σωκράτης καὶ ὁ Tr 1 Χαιρεφῶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch th-tr nub 455a –τρ’ ἐκ μοῦ χορδήν] παρατέλευτον. ἐκ μοῦ χορδήν] ἤγουν καὶ τῶν ἐντέρων μου μὴ φεισάσθωσαν.

sch th-tr nub 456 παραθέντων] εἰς ἑστίασιν. 〈456〉 praeter Cant.

sch th-tr nub 456bis 2 ( > tantum) et Lh (nihil). ἑτέρα περίοδος στίχων οὖσα τροχαϊκῶν κ′, ὧν τὸ πρῶτον “ λῆμα μὲν πάρεστι τῷδ ε ” τροχαϊκὸν δίμετρον ἀκατάληκτον, τὸ β′ “γ ’ οὐκ ἄτολμον ἀλ λ ’ ἕτοιμον ἴσθι δ ’ ὡ ς ” τροχαϊκὸν *** καταληκτικόν· τὸ γ′ “ ταῦτα μαθὼν πα ρ ’ ἐμο ῦ ” {τροχαϊκὸν δίμετρον καταληκτικόν}· τὸ δ′ “ κλέος οὐρανόμηκε ς ” ἀναπαιστικὸν *** [ἀκατάληκ]τον· τὸ ε′ “ ἐν βροτοῖσιν ἕξω ν ” τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, ὃ καλεῖται ἰθυφαλικόν· οἱ παλαιοὶ δέ φασι τοῦτο φερεκράτειον ἀτελές· τὸ ϛ′ “ τί πείσομα ι ” ἰαμβικὴ βάσις ἤτοι μονόμετρον ἀκατάληκτον· τὸ ζ′ “ τὸν πάντα χρόνον με τ ’ ἐμο ῦ ” ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον· τὸ η′ “ ζηλωτότατον βίον ἀν – ” ἀναπαιστικὸν ὅμοιον· τὸ θ′ “ θρώπων διάξει ς ” πε[νθημιμερὲς ἤτοι] μονόμετρον ἰαμβικὸν ὑπερκατάληκτον· τὸ ι′ “ ἆρά γε τοῦ τ ’ ἄ ρ ’ ἐγ ώ ” δακτυλικὸν δίμετρον ὑπερκατάληκτον εἰς συλλαβήν, {ὃ καλεῖται πενθημιμερές}· τὸ ια′ “ πο τ ’ ὄψομα ι ” ἰαμβικὴ βάσις ἤτοι μονόμετρον ἀκατάληκτον· τὸ ιβ′ “ ὥστε γέ σου πολλοὺ ς ” δακτυλικὸν ὅμοιον τῷ ι′ ἤγουν πενθημιμερές· τὸ ιγ′ “ ἐπὶ ταῖσι θύραι ς ” ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον κατὰ μονοποδίαν · τὸ ιδ′ “ ἀεὶ καθῆσθα ι ” ἰαμβικὸν μονόμετρον ὑπερκατάληκτον ἤτοι πενθημιμερέσ · τὸ ιε′ “ βουλομένους ἀνακοινοῦσθα ι ” δακτυλικὸν τρίμετρον ὑπερκατάληκτον ἤτοι ἑφθημιμερές· τὸ ιϛ′ “ καὶ ἐς λόγους ἐλθεῖ ν ” ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· τὸ ιζ′ “ πράγματα κἀντιγραφὰ ς ” δακτυλικὸν δίμετρον ὑπερκατάληκτον εἰς συ[λλαβήν]· τὸ ιη′ “ πολλῶν ταλάντω ν ” ἰαμβικὸν μονόμετρον ὑπερκατάληκτον ἤτοι πεν[θημι]μερές· τὸ ιθ′ “ ἄξια σῇ φρεν ὶ ” δακτυλικὸν δίμετρον ἀκατάληκτον· τὸ κ′ “ συμβουλευσομένους μετὰ σο ῦ ” δακτυλικὸν ὅμοιον τῷ ιε′ ἤτοι ἑφθημιμερές. [20]

sch th-tr nub 457b λῆμα μὲν πάρεστι τῷδε : ἐπέκθεσις τῆς διπλῆς ἑτέρα ἀμοιβαία ἐκ κώλων κ′, ὧν τὸ α′ τροχαϊκὸν δίμετρον ἀκατάληκτον· τὸ β′ τροχαϊκὸν τρίμετρον καταληκτικὸν ἀρχιλόχειον καλούμενον· τὸ γ′ δακτυλικὸν πενθημιμερές, ὃ καὶ αὐτὸ ἀρχιλόχειον καλεῖται, ὡς προείρηται· τὸ δ′ ἀναπαιστικὸν ὅμοιον· τὸ ε′ τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, ὃ καλεῖται ἰθυφαλικὸν ἀρχιλόχειον διὰ τὸ ἐν ταῖς πομπαῖς τοῦ Ἰθυφάλου τούτῳ τῷ ῥυθμῷ χρήσασθαι τὸν Ἀρχίλοχον· τὸ ϛ′ ἰαμβικὴ βάσις ἤτοι μονόμετρον ἀκατάληκτον· τὸ ζ′ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον· τὸ η′ ὅμοιον· τὸ θ′ ἰαμβικὸν πενθημιμερές· τὸ ι′ ὅμοιον τῷ γ′· τὸ ια′ ὅμοιον τῷ ϛ′· τὸ ιβ′ τροχαϊκὸν πενθημιμερές· τὸ ιγ′ ἀναπαιστικὴ βάσις· τὸ ιδ′ ὅμοιον τῷ θ′· τὸ ιε′ δακτυλικὸν ἑφθημιμερές, ὃ ἀλκμάνειον καλεῖται· τὸ ιϛ′ ὅμοιον τῷ δ′· κοινὴ γάρ ἐστι συλλαβὴ τὸ “ κα ὶ” · τὸ ιζ′ ὅμοιον τῷ γ′· τὸ ιη′ ὅμοιον τῷ θ′· τὸ ιθ′, ὃ παρατέλευτον ὀνομάζεται, δακτυλικὴ βάσις· τὸ κ′ “ συμβουλευσομένους μετὰ σο ῦ ” ὅμοιον τῷ ιε′. ἐν ἐκθέσει δὲ στίχοι δύο ἀναπαιστικοὶ τετράμετροι καταληκτικοί· ἔθος γάρ ἐστι μετὰ τὰς τοιαύτας περιόδους δίστιχον ἐπιτιθέναι. ἐπὶ τῷ τέλει τῆς μὲν ἐπεκθέσεως δύο συνήθως διπλαῖ ἔξω νενευκυῖαι, τῆς δὲ διστιχίας παράγραφος. καλεῖται δὲ ταῦτα πολυσχημάτιστα διὰ τὸ διάφορα δέχεσθαι μέτρα. λῆμα] φρόνημα καὶ ὁρμή. [15]

sch th-tr nub 458 ἕτοιμον] πρόθυμον. ὡς φιλόσοφος τὴν λέξιν ἀπὸ τοῦ οὐρανοῦ παρήγαγε διὰ τὸ διδάσκειν τὰ οὐράνια.

sch th-tr nub 459 Tr 1 [ περὶ οὐρανοῦ. Tr 2 ] μετ’ ἐμοῦ] ἤγουν ὥσπερ ἐγώ.

sch th-tr nub 463 ζηλότατον Th 2 [ ζηλωτότατον Tr 1/2 ] ] μακαριστόν. ἀνακοινοῦσθαί] κοινωνεῖν Tr 2 σοι.

sch th-tr nub 470b τὸ “ ἀνακοινοῦσθα ι ” πρὸς τὸ “ πράγματα καὶ ἀντιγραφὰ ς ” σύναπτε. εἰκότως δὲ εἶπε τὸ “ σῇ φρεν ὶ ” δεικνὺς ἐντεῦθεν, ὡς ἄλλος μὲν ἄν τις οὐδενὸς ἄξια ταῦτ’ ἐλογίσατο Th 2 Tr 2 [ ἐλογήσατο Tr 1 ] , σὺ δὲ πλείστου ἄξια. κἀντιγραφὰς] ἀντικατηγορίας.

sch th-tr nub 474 ἄξια σῇ φρενὶ] τοῦτο παρατέλευτον καλεῖται τὸ κῶλον. 〈475〉 praeter Cant.

sch th-tr nub 475 2 ( > tantum) et Lh (nihil). ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ β′.

sch th-tr nub 477 διακίνει] γύμναζε. praeter Cant.

sch th-tr nub 477bis 2. ἰαμβικοὶ τρίμετροι λβ′, ὧν τελευταῖος χώρει· τί κυπτάζεις ἔχων περὶ τὴν θύραν; (cf.

sch th-tr nub 478b 478a) ἄγε δή , κάτειπέ μοι σὺ : κορωνίς, ὅτι εἰσίασιν ἑτέρως οἱ ὑποκριταί. οἱ δὲ στίχοι ἰαμβικοί εἰσι τρίμετροι ἀκατάληκτοι λβ′, ὧν ... θύραν; ἐπὶ τῷ τέλει κορωνίς. ⋇ Vat solus.

sch th-tr nub 481a ἐντεῦθεν παρίστησι τὴν ἑαυτοῦ ἄνοιαν. τὸ γὰρ “ μηχανὰ ς ” οὐχ ὡς Σωκράτης εἶπεν, οὕτω καὶ αὐτὸς ἐνόησεν, ἀλλ’ εἰς τειχομαχικὰ ὄργανα· διὸ καὶ τὸ “ τειχομαχεῖ ν ” εἶπεν. Tr 2 ἐξεπίτηδες δὲ ὁ ποιητὴς ταύτην τὴν λέξιν ἔθηκεν. διανοεῖ] διανοῇ.

sch th-tr nub 482 πυθέσθαι] ἐρωτῆσαι. τρόπων Th 2 Tr 1 [ τρόπω Tr 2 ] εἰμί.

sch th-tr nub 484 ὀφείληταί Th 2 [ ὀφείλεταί Tr 1/2 ] τι μοι] δάνεισμα παρ’ ἐμοῦ ἑτέρῳ δέδοται. Th 2 [ χρεωστεῖταί τι μοι δάνεισμα παρ’ ἑτέρου. Tr 1/2 ] ὀφείλω] χρεωστῶ αὐτός τινι.

sch th-tr nub 485b σχέτλιος] ἀργός. 486] ἤγουν εὐφυῶς ἔχεις πρὸς τὸ λέγειν.

sch th-tr nub 488a δυνήσει] δυνήσῃ. ἀμέλει] ἀφρόντιστος ἔσο.

sch th-tr nub 489a νυν] δή. ὅπως] σκόπει.

sch th-tr nub 490a ὑφαρπάσει] ὑφαρπάσῃς. αἰνίττεται διὰ τοῦ “ ὑφαρπάσῃ [ς] ” Tr 1 [ διὰ τοῦ “ ὑφαρπάσῃ ς ” αἰνίττεται Tr 2 ] τὴν κυνικὴν φιλοσοφίαν · διὸ καὶ τὸ “ κυνηδὸ ν ” ἐπήγαγεν.

sch th-tr nub 493 μὴ] ἵνα. νυν] δή.

sch th-tr nub 497b κατάθου θοιμάτιον] τοῦτο ἐποίουν ἐπὶ τῶν μυουμένων τὰ μυστήρια. (cf.

sch th-tr nub 497c 497b) τοῦτο ... μυστήρια. οἰόμενος δὲ καὶ οὗτος μυστήριά τινα καὶ ἀπόρρητα διδάσκειν· ἀπόδυθι, φησί, τὸ ἱμάτιον· γυμνοὶ γὰρ εἰσίασιν οἱ μυούμενοι. νομίζεται] νόμιμόν ἐστι.

sch th-tr nub 499a φωράσων] κλέψων. ἔθος ἦν τοὺς εἰσιόντας εἰς οἰκίαν τινὸς ἐπὶ τῷ ἐρευνῆσαι γυμνοὺς εἰσιέναι, ἵνα μή τι ὑπὸ τὰ ἱμάτια κρύψαντες λάθωσιν, ἢ ἵνα μὴ ὑπὸ ἔχθρας λάθωσιν ὑποβάλλοντες τὸ ζητούμενον καὶ ζημίας αἴτιοι τούτῳ γένωνται.

sch th-tr nub 502 ἐμφερὴς] ὅμοιος. διοίσεις] διαφορὰν ἕξεις.

sch th-tr nub 503b ὅτι ἰσχνὸς καὶ ὠχρὸς τὴν ἰδέαν ὁ Χαιρεφῶν ἅτε φιλοσοφίᾳ συζῶν καὶ ἐκ ταύτης Tr 2 συντετηκὼς Tr 1 [ συντετηκὸς Tr 2 ] ἔχων τὸ σῶμα Tr 2 · διὸ καὶ νυκτερὶς ἐκαλεῖτο διὰ τὸ ἰσχνόν. ἡμιθνὴς] οἷος ὁ Χαιρεφῶν.

sch th-tr nub 506a ἀνύσας] τελέσας. νυν] δή.

sch th-tr nub 507a μελιττοῦταν Th 2 [ μελιτοῦταν Tr 1/2 ] ] πώπανον Th 2 πόπανον. Tr 1 [ πόπανα ἀπὸ μέρους. Tr 2 ] ὡς] ὅτι.

sch th-tr nub 508a εἴσω καταβαίνων] ὑπόγειον γὰρ ἦν τὸ φροντιστήριον. ὁ Τροφώνιος ἀνὴρ ἦν πάνυ φιλόδοξος.

sch th-tr nub 508b ποιήσας οὖν ἐν Λεβαδίᾳ τῆς Βοιωτίας ὑπόγειον οἴκημα, εἰσελθὼν ἐμαντεύετο καὶ λιμαγχονηθεὶς ἀπέθανεν. ἐγκατοικῆσαν δὲ δαιμόνιόν τι τὰς μαντείας ἐτέλει. εἰσήρχοντο οὖν ἐντὸς οἱ χρησόμενοι ἔχοντες ἐν ταῖν χεροῖν πώπανα Th 1/2 [ πόπανα Tr 1/2 ] , ἵνα τοῖς ἐκεῖ ἐμφιλοχωροῦσιν ὄφεσι διδόντες μηδὲν ὑπ’ αὐτῶν δυσχερές τι πάσχωσιν. ὁ δὲ εἰσιὼν ἐκεῖσε τολοιπὸν οὐκέτι ἐγέλα διὰ τὴν τῶν ὄφεων ἔκπληξιν· ὅθεν ἡ παροιμία “ἐς Τροφωνίου μεμάντευται” ἐπὶ τῶν κατηφῶν λεγομένη. Τροφωνίου] τὸ οἴκημα. [5]

sch th-tr nub 509a τί ... θύραν] ἤγουν βραδέως Tr 1/2 διακείμενος εἰς τὸ εἰσιέναι δι’ αὐτῆς. τελευταῖος τῶν ἰάμβων.

sch th-tr nub 510a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλ λ ’ ἴθι χαίρων : τοῦτο κομμάτιον τοῦ χοροῦ ὀνομάζεται. ἔθος γάρ ἐστι πρὸ τῆς παραβάσεως κομμάτιον προλέγειν. καλεῖται δὲ τὸ ὅλον παράβασις· ἔχει δὲ μέρη ϛʹ, ὧν τὸ αʹ λέγεται κομμάτιον, τὸ βʹ παράβασις καὶ μακρὸν ἢ πνῖγος, τὸ γʹ στροφὴ καὶ ᾠδή, τὸ δʹ ἐπίρρημα, τὸ εʹ ἀντῳδὴ καὶ ἀντιστροφή, τὸ ϛʹ ἀντεπίρρημα. ἔστι δὲ τὸ παρὸν κομμάτιον κώλων ηʹ, ὧν τὸ αʹ “ ἀλ λ ’ ἴθι χαίρων τῆς ἀνδρεία ς ” χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον, χορίαμβον ἔχον, δισπόνδειον καὶ συλλαβήν· τὸ δεύτερον “ εἵνεκα ταύτη ς ” χοριαμβικὸν μονόμετρον ὑπερκατάληκτον ἤτοι πενθημιμερές· τὸ γʹ “ εὐτυχία γένοι τ ’ ἀν – ” χοριαμβικὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ βακχείου ἑφθημιμερές· τὸ δʹ “ θρώπῳ̆ ὅτι προήκω ν ” ὅμοιον τῷ γʹ· τὸ εʹ “ ἐς βαθὺ τῆς ἡλικία ς ” δίμετρον ἀκατάληκτον ἐκ χοριάμβων· τὸ ϛʹ “ νεωτέροις τὴν φύσιν αὐτο ῦ ” ὅμοιον τῷ αʹ ἐκ διιάμβου καὶ χοριάμβου καὶ μιᾶς συλλαβῆς· τὸ ζʹ “ πράγμασι χρωτίζετα ι ” ὅμοιον ἐκ χοριάμβου καὶ ἀμφιμάκρου δίμετρον ἀκατάληκτον· τὸ ηʹ “ καὶ σοφί α ν ἐπασκε ῖ ” ὅμοιον τῷ γʹ ἐκ χοριάμβου καὶ βακχείου συγκείμενον ἤτοι ἑφθημιμερές. τὸ Tr 1 κομμάτιον κώλων ηʹ.

sch th-tr nub 510 ἀλ λ ’ ἴθι χαίρων : τοῦτο διὰ τὸ εἰσάγεσθαι τὸν χορὸν ἐξιόντων τῶν ὑποκριτῶν ὀνομάζεται κορωνίς, διὰ δὲ τὸ προτίθεσθαι τῆς παραβάσεως ὀνομάζεται κομμάτιον. ἔθος γάρ α [ δέ β ] ἐστι πρὸ τῆς παραβάσεως κομμάτιον προτάσσειν, ὅπερ ἀεὶ χοριαμβικοῖς κώλοις συντίθεται. τῆς δὲ παραβάσεως μέρη εἰσὶν ἕξ, ὡς καὶ ἐν ταύταις ἐπιγράφεται, κομμάτιον, παράβασις, ὃ καὶ μακρὸν καὶ πνῖγος λέγεται καὶ ἀνάπαιστος, ἐπεὶ πολλάκις ἀναπαίστοις ἐν τούτῳ χρῶνται, στροφὴ καὶ ᾠδή, ἐπίρρημα, ἀντῳδὴ καὶ ἀντιστροφή, καὶ ἀντεπίρρημα. καὶ ταῦτα μέν εἰσι τὰ μέρη αὐτῆς, καλεῖται δὲ τὸ ὅλον παράβασις ἢ διὰ τὸ ἀπὸ ἑτέρας στάσεως προβαίνειν τὸν χορὸν εἰς τὸ μέσον καὶ λέγειν ἀφορῶντα πρὸς τὸν δῆμον, ἢ διὰ τὸ παραβαίνειν τὴν τάξιν τὸν ποιητὴν καὶ εἰσάγειν τὸ ἑαυτοῦ πρόσωπον. εἰσὶ δὲ τῶν μερῶν τούτων τῆς παραβάσεως τὰ μὲν ἁπλᾶ, τὰ δὲ κατὰ σχέσιν. τὸ μὲν γὰρ κομμάτιον καὶ ἡ παράβασις ἁπλᾶ, τὰ δὲ λοιπὰ ἔχει σχέσιν πρὸς ἄλληλα· ἡ γὰρ ᾠδὴ ἔχει τὴν ἀντῳδὴν ὁμοίαν ἑαυτῇ κατά τε τὰ κῶλα καὶ τὰ μέτρα, τὸ δὲ ἐπίρρημα ἔχει ὡσαύτως ὅμοιον ἑαυτῷ τὸ ἀντεπίρρημα. καὶ ταῦτα μὲν οὕτως. ἔστι δὲ τὸ παρὸν κομμάτιον κώλων χοριαμβικῶν ηʹ ἐπιμεμιγμένων διιάμβοις, ἐπιτρίτοις καὶ παλιμβακχείοις, ὧν τὸ αʹ δίμετρον ὑπερκατάληκτον· τὸ βʹ πενθημιμερές· τὸ γʹ ἑφθημιμερές· τὸ δʹ ὅμοιον· τὸ εʹ δίμετρον ἀκατάληκτον· τὸ ϛʹ ὅμοιον τῷ αʹ· τὸ ζʹ καὶ τὸ ηʹ ὅμοια τῷ γʹ ἤτοι ἑφθημιμερῆ. ἐπὶ τῷ τέλει παράγραφος. ἀλλʼ οἶμαι, ὡς οὐδέν ἐστιν ἀπεικὸς καὶ περὶ τῶν τιθεμένων ἐπὶ τούτοις σημείων εἰπεῖν. Ἡφαιστίων γάρ φησιν, ὅτι τῆς παραβάσεως μερῶν ὄντων ἑπτὰ ἐπὶ ἓν ἕκαστον τῶν ἀπολελυμένων τριῶν τίθεται ἡ παράγραφος, τοῦ κομματίου καὶ τῆς παραβάσεως καὶ τοῦ μακροῦ. οὐδὲν ἧττον δὲ α [ δὲ ἧττον β ] καὶ ἐπὶ τοῦ μέλους καὶ τοῦ ἐπιρρήματος, ἂν μηδὲν ἀνταποδιδῶται· ἐὰν δὲ ἔνι τὰ ἀνακυκλούμενα, τό τε ἀντίστροφον τοῦ μέλους καὶ τὸ ἀντεπίρρημα, ἐπὶ τοῦ ἐπιρρήματος τίθεται ἡ ἔσω νενευκυῖα διπλῆ ὑπὲρ τοῦ δηλῶσαι, ὅτι ἐστὶ τὰ ἀνταποδιδόμενα, ἐπὶ δὲ τοῦ ἀντεπιρρήματος ἡ ἔξω νενευκυῖα· ἐν δὲ τοῖς ἀνταποδιδομένοις πάλιν ἐφʼ ἑκάστης στροφῆς παράγραφος. ἐπὶ δὲ τοῦ τελευταίου κώλου δύο διπλαῖ, ἡ μὲν κατʼ ἀρχάς, ἡ δὲ κατὰ τὸ τέλος, ἀμφότεραι μέντοι ἔξω νενευκυῖαι διὰ τούτων δηλούντων ἡμῶν, ὅτι ἀνταποδίδοται. τῆς ἀνδρίας Th 1/2 [ ἀνδρείας Tr 1/2 ] ] τῆς Tr 2 εὐτολμίας, γενναιότητος Tr 2 .

sch th-tr nub 510 ※ praeter LhCant.2 (post v. 511, sc. primi versus alt. colon, Vat) . ἐς βαθὺ] εἰς τὸ πλέον μέρος.

sch th-tr nub 515 νεωτέροις] νέῳ προσήκουσι. χρωτίζεται] χρωματίζεται.

sch th-tr nub 516b δοκεῖ τὸ “ χρωτίζετα ι ” ἀντὶ τοῦ χρωματίζειν Th 1 [ “χρωματίζει” Th 2 Tr 1/2 ] νοεῖσθαι· κρεῖττον δέ ἐστιν ἀντὶ τοῦ “χρωματίζεται”, οὕτω· νεωτέροις πράγμασι χρωματίζεται. Th 1/2 [ χρωτίζεται. Tr 1/2 ] ἐπεὶ δὲ ὁ χρωματισμὸς εἰς πρόσωπον γίνεται, αὐτὸς δὲ κατὰ νοῦν ἐχρωματίζετο, διὰ τοῦτο ἐπήγαγε· “ τὴν αὐτοῦ φύσι ν” , ἵνʼ ᾖ ὅλον καὶ μέρος, διὰ μὲν τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

“χρωματίζεται” νοουμένου τοῦ ὅλου, διὰ δὲ τοῦ “ τὴν αὐτοῦ φύσι ν ” τοῦ μέρους. praeter Lh. [5]

sch th-tr nub 518a
παράβασις λέγεται διὰ τὸ τὸν ποιητὴν παραβαίνειν τὴν τάξιν καὶ αὐτοπροσώπους ποιεῖσθαι τοὺς λόγους, ἀλλ’ οὐ διὰ χοροῦ τινος. ὦ θεώμενοι : αὕτη Tr 2 ἡ παράβασις, ἣ καὶ μακρὸν καὶ πνῖγος καὶ ἀνάπαιστος, ὡς εἴρηται Tr 2 , λέγεται, στίχων ἐστὶ τροχαϊκῶν τετραμέτρων καταληκτικῶν καὶ ἀκαταλήκτων Tr 1 με′, ὧν τελευταῖος ἐς τὰς ὥρας τὰς ἑτέρας εὖ φρονεῖν δοκήσετε.

sch th-tr nub 518b
ἐπὶ τῷ τέλει παράγραφος. ὅτι ἐν πᾶσι τούτοις ἴαμβος ἐν τῇ τετάρτῃ εὕρηται χώρᾳ· καὶ καλεῖται τοῦτο τὸ μέτρον εὐπολίδειον. Tr 2 παράβασις. [5]

sch th-tr nub 518d
παράβασις στίχων με′. θεώμενοι] θεαταί.

sch th-tr nub 518f
θεώμενοι] χ. ἐπισημειοῦται τὴν λέξιν τὸ “ θεώμενο ι ” Tr 2 τὸ Tr 1 [ τῷ Tr 2 ] χ, ὅτι μετοχῇ ἐχρήσατο ἀντὶ ὀνόματος.

sch th-tr nub 518h
ἐλευθέρως] μετὰ παρρησίας, ὡς εἰώθασιν οἱ ἐλεύθεροι διαλέγεσθαι. Tr 2 ⋇ Vat solus.

sch th-tr nub 519
τὸν ἐκθρέψαντά με] ἐν γὰρ τοῖς Διονυσιακοῖς τὰ κωμικὰ δράματα ἐγίνετο. Th 1 Tr 1/2 [ ἐγίνοντο. Th 2 ] ὡς] καθά.

sch th-tr nub 523a
ἀναγεῦσαι Th 1/2 [ ἀναγεῦς’ Tr 1/2 ] ] τῆς κωμῳδίας ἐκείνης. ἀναγεῦς’] ἀναγεῦσαι.

sch th-tr nub 523/24
ἣ ... πλεῖστον] ἤγουν εἰς ἣν πολλὰ ἐμόγησα. φορτικῶν] δυσκόλων καὶ βασκάνων.

sch th-tr nub 525a
οὐκ ἄξιος ὤν] τοῦτο παθεῖν. ταῦτ’] ἤγουν ὅτι ἀναξίως ἥττημαι.

sch th-tr nub 526a
ἐκ τοῦ εἰπεῖν· σοφοῖ ς , περιποιεῖται αὐτοὺς ἐντεῦθεν καὶ οἰκείους καθίστησιν αὐτῷ. ταῦτ’] ἤγουν τὴν κωμῳδίαν.

sch th-tr nub 527a
ὧς] οὕτως. δεξιούς] κοσμίους καὶ σοφωτάτους.

sch th-tr nub 528a
οἷς p.l.m.] οἵτινες τὸ λέγειν πλείστου ἄξιον κρίνουσιν εὐδοκιμοῦντες ἐν τούτῳ. τὸ “ οἷς ἡδὺ καὶ λέγει ν ” οὕτως εἴποις· ἢ ἐν οἷς καὶ λέγειν ἡδύ ἐστιν ἐμοί, Tr 2 ἤγουν πρὸς οὓς ἀποδέχομαι τοὺς λόγους ποιεῖσθαι ὡς σοφοὺς καὶ δικαίους ὄντας κριτάς· ἢ οἵτινες τὸ λέγειν πλείστου Th 1 Tr 1/2 [ πλείστων Th 2 ] ἄξιον κρίνουσιν εὐδοκιμοῦντες ἐν τούτῳ.

sch th-tr nub 528b
Th 1/2 Tr 1 [ αὐτῷ. Tr 2 ] ὁ σώφρων καὶ ὁ καταπύγων Th 1/2 Tr 1 εἰς Th 1 Tr 1/2 [ ἢ Th 2 ] ἓν δρᾶμα ἦσαν ἀμφότεροι τῶν Δαιταλέων ὀνομαζόμενον.

sch th-tr nub 529a
Th 1 Tr 1/2 [ ἢ δύο. Th 2 ] καταπύγων] ὁ πόρνος.

sch th-tr nub 529c
ἄριστ’ ἠκουσάτην] ἤγουν ἐπῃνέθησαν. παρθένος .

sch th-tr nub 530
.. τεκεῖν] οὐ γὰρ ἐδέδοτο Th 1/2 α [ ἐδίδοτο Tr 1 β ] ἄδεια τοῖς πρὸ τριάκοντα χρόνων δράματα γράφειν καὶ παρρησιάζεσθαι. Tr 2 τὸ “ ἐξέθηκ α ” εἴρηται ἐκ μεταφορᾶς τῶν γυναικῶν τῶν λάθρᾳ τικτουσῶν καὶ φοβουμένων γνωσθῆναι καὶ διὰ τοῦτο ἔξω ῥιπτουσῶν τὰ βρέφη, ἵνα ἰδών τις ἀνέλοιτο.

sch th-tr nub 531a
ὅτι δὲ τῆς αὐτῆς ἐστι σημασίας τὸ “ ἐξέθηκ α” , μαρτυρεῖ Εὐριπίδης λέγων· δίδωσι βουκόλοισιν ἐκθεῖναι βρέφος. λέγει οὖν Ἀριστοφάνης, ὡς ἐπειδὴ παρανόμως ταύτην τὴν κωμῳδίαν ἔτεκον, ὥσπερ τι βρέφος ἔξω ἔρριψα. τὸ δὲ “ ἀνείλετο λαβοῦσ α ” ἢ ἐκ παραλλήλου, ὡς τὸ “ ἁγνεύσας ἐκάθηρ ε ” καὶ “ ἐτύγχανεν ὤ ν” · ἢ τὸ μὲν “ λαβοῦσ α ” νοοῦμεν Th 1 [ νοῶμεν Th 2 Tr 1/2 ] λέγεσθαι διὰ τὴν ἐκ τῆς γῆς ὑπὸ τῶν χειρῶν ἄρσιν, τὸ δὲ “ ἀνείλετ ο ” διὰ τὴν ἀναδοχὴν καὶ εἰσποίησιν. ἐξέθηκα] ἔρριψα. [10]

sch th-tr nub 531c
παῖς δ’ ἑτέρα τις] Κλεωνίδης καὶ Καλλίστρατος· οὐ γὰρ δι’ ἑαυτοῦ ἐδίδαξε τοὺς Δαιταλεῖς τὸ πρῶτον αὐτοῦ δρᾶμα. ἀνείλετο] ἀνεδέξατο.

sch th-tr nub 532

ἐξεθρέψατε γενναίως] ἤγουν ἄριστον καὶ καλὸν ἐκρίνατε. ἤγουν μεγάλη πίστις ἐστί μοι πρὸς ὑμᾶς καὶ πληροφορία.

sch th-tr nub 533 εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν τὰς φιλίας δι᾽ ὅρκου ποιούντων. ἡ Χρυσόθεμις ἀπελθοῦσα θῦσαι τῷ πατρὶ καὶ τὸν Ὀρέστου πλόκαμον ἐνταῦθα εὑροῦσα εἶπε τοῦτο τῇ Ἠλέκτρᾳ.

sch th-tr nub 534 ἡ δὲ ἀπελθοῦσα ἐγνώρισεν αὐτὸν ὄντα Ὀρέστου, εἰ καὶ Σοφοκλῆς τοῦτο οὐ λέγει. λέγει οὖν Ἀριστοφάνης, ὅτι, εἰ ἐπαινεθήσεται παρ᾽ ὑμῶν ἡ νῦν κωμῳδία, γνώσεται, ὅτι ὑμεῖς ἐστὲ οἱ καὶ τὴν πάλαι αὐτῆς ἀδελφὴν ἐπαινέσαντες. Αἰσχύλος δὲ ἐν Χοηφόροις Ἠλέκτραν φησὶν εὑρηκέναι τὸν πλόκαμον. Tr 2 ᾽πιτύχῃ] συμβῇ.

sch th-tr nub 535b οὕτω σοφοῖς] καθὼς εἰς τὴν κωμῳδίαν ἐκείνην ὑμεῖς ἐφάνητε. ὡς .

sch th-tr nub 537 .. σκέψασθ᾽] κατὰ τὴν τῶν ἐν τῷ δράματι προσώπων σκηνὴν καὶ ὑποτύπωσιν. πάντα ταῦτα ἀπὸ τοῦ “ ῥαψαμένη σκύτινο ν ” μέχρι τοῦ “ ἰοὺ ἰοὺ βο ᾷ ” κωμικοί τινες ἐν τοῖς ποιήμασι πεποιήκασιν.

sch th-tr nub 538b σκύτινον καθειμένον] δερμάτινον μόριον μακρόν, καθὼς ἕτεροι κωμικοὶ ποιοῦσιν. κόρδακα Th 1 Tr 1/2 τὸν λεγόμενον ἰδιωτικῶς καρυδᾶν Th 1 καριδὰν Th 2 Tr 1 [ καριδᾶν Tr 2 ] λέγει.

sch th-tr nub 540a τὸ δὲ “ εἵλκυσε ν ” ἀντὶ τοῦ “ἐν τῷ θεάτρῳ εἰσήγαγε” νόει. κόρδαχ᾽] ὄρχησιν αἰσχράν.

sch th-tr nub 540c εἵλκυσεν] ἐν θεάτρῳ εἰσήγαγεν. τρία ἦσαν εἴδη ὀρχήσεως, ὡς καὶ Ἡσύχιος ὁ Ἰλούστριός φησιν· ἐμμέλεια μὲν τραγική, σίκιννις σατυρική, κόρδαξ δὲ κωμική, ἥτις αἰσχρῶς κινεῖ τὴν ὀσφῦν.

sch th-tr nub 540e σεμνὴν δὲ Tr 2 βουλόμενος δεῖξαι τὴν νῦν Tr 1 [ νῦν τὴν Tr 2 ] κωμῳδίαν ταῦτα διέξεισιν, ἐπεὶ ἐν ἑτέροις δράμασι καὶ αὐτὸς ταῦτα εἰσῆξεν· ἐν Λυσιστρα(superscr. τ) Tr 1 [ Λυσιστράτῳ Tr 2 ] μὲν γὰρ τοὺς φάλητας εἰσήγαγεν, ἐν τοῖς Σφηξὶ τὸν κόρδακα, τοὺς φαλακροὺς ἐν Εἰρήνῃ, τὸν πρεσβύτην ἐν Ὄρνισι, τὰς δὲ δᾷδας καὶ τὸ “ ἰοὺ ἰο ὺ ” ἐν τῷ τέλει τῶν Νεφελῶν· πλὴν οὐκ ἀκαίρως καὶ ἀσέμνως ταῦτα οὗτος εἰσάγει, ὡς οἱ λοιποί. πρεσβύτης] Εὔπολις τοῦτο πεποίηκεν.

sch th-tr nub 541b βακτηρίᾳ] ῥάβδῳ. τὸν παρόντ᾽ Th 1 Tr 1/2 [ παρόντα Th 2 ] ] τὸν παρατυχόντα.

sch th-tr nub 542b πονηρὰ σκώμματα] ἤγουν τὰς αἰσχίστας φλυαρίας, ἃς ἔλεγον. εἰσῆξε] ἑαυτήν.

sch th-tr nub 543b ἰοὺ ἰοὺ βοᾷ] συνεχῶς. πιστεύους᾽] θαρροῦσα.

sch th-tr nub 544b αὐτῇ ... ἔπεσιν] τῇ ἐπινοίᾳ τῆς ὑποθέσεως καὶ οἰκονομίᾳ καὶ τῇ χάριτι τῶν ἐπῶν. τοιοῦτος] κάλλιστος καὶ σεμνός.

sch th-tr nub 545b κομῶ] ἐπαίρομαι· χαριέντως Tr 1/2 δὲ Tr 2 τοῦτο λέγει, ἐπεὶ φαλακρὸς ἦν. Tr 1/2 δὶς .

sch th-tr nub 546 .. εἰσάγων p.i.m.] ὥσπερ ποιοῦσιν ἕτεροι τὰς αὐτὰς κωμῳδίας πολλάκις δραματουργοῦντες. καινὰς] νέας.

sch th-tr nub 547b ἰδέας] ὑποθέσεις Tr 2 κωμῳδιῶν. σοφίζομαι] σοφὸς φαίνομαι· ἢ μηχανῶμαι.

sch th-tr nub 549a ὃς] ἤγουν ἐγώ. μέγιστον ὄντα] ἐν Ἀθηναίοις.

sch th-tr nub 549c οὗτος ὁ Κλέων μέγιστος ἦν ἐν Ἀθήναις διὰ τὸ Σφακτηρίαν καὶ Πύλον παραστήσασθαι. ἡ περὶ τούτου δὲ ἱστορία προείρηται. τὸ τῶν Ἱππέων δὲ δρᾶμά ἐστιν, ὃ κατ᾽ αὐτοῦ ἔγραψεν. Tr 2 ἔπαις᾽ Th 1/2 Tr 2 [ ἔπαισα Tr 1 ] ] ἔτυψα λογῷ.

sch th-tr nub 549d Tr 2 εἰς (ἐς) τὴν γαστέρα p.

sch th-tr nub 549e i.m.] ἢ ὅτι Th 1/2 Tr 2 [ διότι Tr 1 ] γαστρίμαργος ἦν ἢ διὰ τὸ σφετερίζεσθαι πολλὰ τῶν κοινῶν. κοὐκ ἐσαῦτις ἐπεπήδησ᾽ Th 1/2 κοὐκέτ᾽ ἐσαῦθις ἐμπεπήδηκά γ᾽ Tr 1 [ κοὐκέτ᾽ εἰσαῦθίς γ᾽ ἐπεπήδησά γ᾽ Tr 2 ] ] ἤγουν δεύτερον ἐκωμῴδησα.

sch th-tr nub 551a οὗτοι] οἱ ἄλλοι κωμικοί. Th 1 Tr 1 [ κωμῳδοί. Tr 2 ] ὡς] ἐπεί.

sch th-tr nub 551c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρέδωκε Th 1/2 [ παρέδωκεν Tr 1/2 ] ] αὐτοῖς. λαβὴν] ἀφορμὴν μέμψεως.

sch th-tr nub 552 κολετρῶς’] ὅ φασιν ἰδιωτικῶς Th 2 Tr 1/2 κλοτζοκοποῦσιν. τὸ δρᾶμα, ἐν ᾧ τὸν Ὑπέρβολον Εὔπολις Th 1 Tr 1/2 ἐκωμῴδει, Μαρικᾶς ἐκαλεῖτο.

sch th-tr nub 553b παρείλκυσεν] εἰς τὸ θέατρον εἰσήγαγεν. ἐκστρέψας Th 1 Tr 1/2 [ ἐκτρέψας Th 2 ] ] μεταβαλών.

sch th-tr nub 554b Ἱππέας] δρᾶμα οὕτω καλούμενον. πεποίηχ’ Th 1 Tr 1/2 [ πεπόηχ’ Th 2 ] ] ἐν δράματι.

sch th-tr nub 557 πεποίηκεν] δρᾶμα. ἐρείδουσιν] ἑδραιοῦνται κωμῳδοῦντες.

sch th-tr nub 559a τὰς εἰκοῦς] τὰς Tr 2 ὁμοιότητας, τοὺς Tr 2 τύπους. ἐγχέλεων] δρᾶμα οὕτω καλούμενον.

sch th-tr nub 559c οὐ δρᾶμα ἦν ὀνομαζόμενον τῶν ἐγχέλεων, ὥς τινές φασιν, ἀλλ’ ἐν τοῖς Ἱππεῦσι τῶν ἐγχέλεων ἐμνήσθη. φησὶ γοῦν, ὅτι, ὥσπερ ἐγὼ διὰ παραβολῶν εἰκάζω τὰ τῆς πόλεως πράγματα, οὕτω καὶ οὗτοι ποιοῦσιν. γελᾷ] ἥδεται.

sch th-tr nub 562a ἐς τὰς ὥρας] ἤγουν ὕστερον. δέον εἰπεῖν· ἐς Tr 1 [ εἰς Tr 2 ] τὰς ὥρας τὰς ἑτέρας ἐλεύσεσθε καλῶς, ἐπήνεγκεν, ὅτι φρόνιμοι δοκήσετε Tr 1 [ δόξετε Tr 2 ] εἶναι, ἤγουν εὔνομοι καὶ εὖ φρονοῦντες· διὸ καὶ ἐπισημειοῦται καὶ τὴν λέξιν τῷ χ.

sch th-tr nub 562c εὖ φρονεῖν] χ. τελευταῖος τῶν τροχαϊκῶν τετραμέτρων.

sch th-tr nub 562 praeter LhCant.2. ᾠδὴ ἤτοι ὕμνος πρὸς τοὺς θεοὺς ἀπὸ τοῦ χοροῦ.

sch th-tr nub 563b ἡ στροφὴ καὶ ᾠδὴ κώλων ιγ′. ἡ στροφὴ καὶ ἡ ᾠδὴ κώλων ἐστὶ δεκατριῶν, ὧν τὸ α′ “ ὑψιμέδοντα μὲν θεῶ ν ” χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου –– καὶ διιάμβου –– συγκείμενον· τὸ β′ “ Ζῆνα τύραννον ἐς χορὸ ν ” ὅμοιον τῷ α′· τὸ γ′ “ πρῶτα μέγαν κικλήσκ ω ” δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου –– καὶ βακχείου –– ἑφθημιμερές· τὸ δ’ “ τόν τε μεγασθενῆ τριαίνης ταμία ν ” χοριαμβικὸν τρίμετρον ἐκ χοριάμβου ––, διιάμβου –– καὶ χοριάμβου –– συγκείμενον· τὸ ε′ [“ γῆς τε καὶ ἁλμυρᾶ ς ] θαλά – ” δίμετρον ἐκ χοριάμβου καὶ διιάμβου ἀκατάληκτον· τὸ ϛ′ “ σσης ἄγριον μοχλευτή ν ” δίμετρον ἀκατάληκτον ἤτοι ἑφθημιμερές, ἐκ χοριάμβου καὶ βακχείου· τὸ ζ′ “ καὶ μεγαλώνυμον ἡμέτερο ν ” δακτυλικὸν ἑφθημιμερὲς *** · τὸ η′ “ πατέ ρ ’ αἰθέρα σεμνότατο ν ” ἀναπαιστικὸν τρίμετρον κατὰ μονοποδίαν· τὸ θ′ “ βιοθρέμμονα πάντω ν ” ἀναπαιστικὸν πενθημιμερὲς { *** βακχείου *** }· τὸ ι′ “ τόν θ ’ ἱππονώμαν ὃς ὑπερ – ” δίμετρον ἐκ τρίτου ἐπιτρίτου ––– {καὶ παιῶνος [πρώτου]} καὶ χοριάμβου διὰ τὴν ἀδιάφορον· τὸ ια′ “ λάμπροις ἀκτῖσιν κατέχε ι ” χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ δισπονδείου καὶ χοριάμβου· τὸ ιβ′ “ γῆς πέδον μέγας ἐν θεοῖ ς ” ἀντισπαστικόν, τὸ καλούμενον γλυκώνειον, δίμετρον ἀκατάληκτον, ἐκ διτροχαίου –– καὶ διιάμβου· καλεῖται δὲ οὕτως διὰ 〈τὸ〉 τὸν ἀντίσπαστον μὴ ἔχειν καθαρόν, ἀλλὰ τέταρτον ἐ[πίτριτον καὶ] χώρας ἰαμβικὰς ἤγουν διίαμβον· τὸ ιγ′ “ ἐν θνητοῖσί τε δαίμω ν ” ὅμοιον ἀντισπαστικόν, καλούμενον φερεκράτειον, ἤτοι δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου δ′ καὶ βακχείου· καλεῖται δὲ οὕτως [διὰ τὸ μὴ] ἔχειν τὸν ἀντίσπαστον καθαρόν, ἀλλ’ ἐπίτριτον δ′, τὰς δὲ ἑξῆς χώρας ἰαμβικὰς ἤτοι διίαμβον –––:––. [20]

sch th-tr nub 563d ὑψιμέδοντα μὲν θεῶν : τοῦτο στροφὴ καὶ ᾠδὴ ὀνομάζεται διὰ τὸ στροφήν τινα ποιεῖσθαι τὸν χορὸν ἀπὸ τοῦ πρὸς τοὺς θεατὰς ὁρᾶν καὶ ᾄδειν εἰς ἕτερον ἀφορῶντα μέρος· ἔστι δὲ ὡς ἐπιτοπλεῖστον εἰς θεοὺς ἡ ᾠδή. ἔστι δὲ ἡ παροῦσα στροφὴ κώλων ιβ′, ὧν τὸ α′ χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐπιμεμιγμένον διιάμβῳ· τὸ β′ ὅμοιον· τὸ γ′ δίμετρον καταληκτικόν, ὃ καλεῖται ἑφθημιμερές, ἐπιμεμιγμένον βακχείῳ· τὸ δ′ ὅμοιον τῷ α′· τὸ ε′ ὅμοιον· τὸ ϛ′ τρίμετρον καταληκτικόν· τὸ ζ′ ἀσυνάρτητον τετράμετρον βραχυκατάληκτον, ὃ καλεῖται ἀρχιλόχειον προσοδιακὸν ἀναπαιστικόν, ὡς Ἡφαιστίων φησίν— ἔχει δὲ τὸ κυρίως προσοδιακὸν τὸν μὲν α′ πόδα ἰωνικὸν ἀπὸ μείζονος ἢ παιῶνα δεύτερον, τὸν δὲ β′ χορίαμβον· τὸ δὲ ἀναπαιστικὸν τὸν πρῶτον δάκτυλον, τὸν δὲ β′ χορίαμβον, τοὺς δὲ ἑξῆς ἀναπαίστους—· εἰ δὲ βούλει, δακτυλικὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τετράμετρον· τὸ η′ ὅμοιον τετράμετρον ὑπερκατάληκτον· εἰ δὲ βούλει, δακτυλικὸν πεντάμετρον· τὸ θ′ ὅμοιον τῷ α′ ἐπιμεμιγμένον ἐπιτρίτῳ τρίτῳ· τὸ ι′ ὅμοιον ἐπιμεμιγμένον δισπονδείῳ· τὸ ια′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καλεῖται γλυκώνειον, ὡς Ἡφαιστίων φησίν· ἔχει δὲ τὸν α′ πόδα ἀντίσπαστον ἢ διτρόχαιον, τὸν δὲ β′ διίαμβον· τὸ ιβ′ ὅμοιον ἑφθημιμερές, ὃ καλεῖται φερεκράτειον, ὡς αὐτός φησιν· ἔχει δὲ τὸν α′ πόδα ἀντίσπαστον ἢ ἐπίτριτον δ′, τὸν δὲ β′ βακχεῖον· καλεῖται δὲ ταῦτα πολυσχημάτιστα διὰ τὸ διάφορα δέχεσθαι μέτρα, ὧν τελευταῖον “ ἐν θνητοῖσί τε δαίμω ν” . ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα δηλοῦσα ἔχειν ἀνταπόδοσιν. στροφὴ καὶ ᾠδὴ κώλων ιβ′.

sch th-tr nub 563f εἰκότως καὶ διὰ τοῦ ὀνομάσαι νῦν Tr 2 τὸν Δία σκώπτει τοὺς φιλοσόφους· ὃν γὰρ αὐτοὶ οὐκ ἐνόμιζον εἶναι θεόν, αἱ νομιζόμεναι ὑπ’ αὐτῶν θεαὶ ἐπικαλοῦνται· ᾠδὴ δέ ἐστιν ἤτοι ὕμνος πρὸς τοὺς θεοὺς ἀπὸ τοῦ χοροῦ. ὑψιμέδοντα] τὸν ἐν ὕψει βασιλεύοντα.

sch th-tr nub 564 χορὸν] τὸν ἡμέτερον. ⨳ Vat solus.

sch th-tr nub 565 κικλῄσκω] καλῶ. Th 1/2 Tr 2 [ ἐπικαλοῦμαι. Tr 2 ] μεγασθενῆ] μεγαλοδύναμον.

sch th-tr nub 566b τριαίνης ταμίαν : ἤγουν Th 1 Tr 1/2 φύλακα. τὸν Th 1 Tr 1/2 Ποσειδῶνα φησίν Th 1 Tr 1/2 , ὃς Th 1/2 Tr 1 [ ·οὗτος γὰρ Tr 2 ] τούς τε σεισμοὺς καὶ τὰς ἐν θαλάσσῃ τρικυμίας ποιεῖ· τὰς μέν, ὡς κύριος ὢν τῶν ἀνέμων· σείει δὲ τὴν γῆν διὰ τῶν αὐτῶν τούτων Th 1/2 Tr 1 ἀνέμων, εἰσιόντων εἰς τοὺς ἀδήλους πόρους αὐτῆς. ταμίαν] ἄρχοντα, φύλακα.

sch th-tr nub 569a ἡμέτερον πατέρ’] ἐν τούτῳ γὰρ αἱ νεφέλαι συνίστανται. εἰκότως τῶν θεῶν τούτων ἐμνήσθη, τοῦ μὲν Διὸς ὡς γενάρχου πάντων, τοῦ Ποσειδῶνος, ὅτι τῶν ὑδάτων δεσπόζει, Ἀέρος, ὅτι πατήρ ἐστι τῶν νεφελῶν, Ἡλίου δέ, ἐπεὶ διάπυρος ὢν τὴν ἰκμάδα ἐπισπώμενος ἐργάζεται τὰς νεφέλας.

sch th-tr nub 570a Αἰθέρα] ἀέρα. βιοθρέμμονα πάντων Th 1 Tr 1/2 [ βιοθρέμμον’ ἁπάντων Th 2 ] ] τὸν βίου καὶ ζωῆς παρεκτικὸν καὶ Th 2 [ ἤγουν Tr 1/2 ] τροφέα ἁπάντων Th 1 Tr 1 [ πάντων Tr 2 ] ζῴων, φυτῶν, καὶ Th 1 Tr 1/2 ζωοφύτων.

sch th-tr nub 571 τόν θ’ ἱππονώμαν] τὸν τοὺς Tr 2 ἵππους κινοῦντα ἥλιον.(,) καλοῦνται δὲ Th 1/2 Tr 1 [ οἳ καλοῦνται Tr 2 ] Λάμπων τε Tr 1/2 καὶ Φαέθων. < ( tantum Cant.

sch th-tr nub 574 2.) . ἐπίρρημα ἤτοι λόγος ἐπὶ τῇ εὐχῇ πρὸς τοὺς θεατάς.

sch th-tr nub 575b τὸ ἐπίρρημα στίχων τετραμέτρων καταληκτικῶν καὶ ἀκαταλήκτων κ′, ὧν τελευταῖος ἐπὶ τὸ βέλτιον τὸ πρᾶγμα τῇ πόλει συνοίσεται. ἐπίρρημα στίχων κ′.

sch th-tr nub 575d ὦ σοφώτατοι θεαταὶ : τοῦτο ἐπίρρημα ὀνομάζεται διὰ τὸ ἐπιρρέπειν αὖθις τὸν χορὸν πρὸς τοὺς θεατὰς καὶ χρηστά τινα συμβουλεύειν αὐτοῖς ἢ σκώπτειν τοὺς πονηρούς. ἔστι δὲ ἐκ στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν κ′, ὧν τελευταῖος ἐπὶ τὸ βέλτιον τὸ πρᾶγμα τῇ πόλει ξυνοίσεται. ἐπὶ τῷ τέλει διπλῆ ἔσω νενευκυῖα δηλοῦσα ἔχειν ἀνταπόδοσιν. δεῦρο] ἐνταῦθα, εἰς ὃ εἴπομεν Th 1/2 β εἴπαμεν.

sch th-tr nub 575e Tr 1 [ εἴπωμεν. α ] προσέχετε] προσκολλᾶτε.

sch th-tr nub 576a ἠδικημέναι] ἐξ ὑμῶν. ἐναντίον] ἄντικρυς καὶ φανερῶς.

sch th-tr nub 576 ⨳ ante vs. (debebat post v. 575) VatLhCant.2. τὸ μὲν “ θεῶ ν ” πρὸς τὸ “ πλεῖστ α” , τὸ δὲ “ δαιμόνω ν ” πρὸς τὸ “ μόναι ς” .

sch th-tr nub 577 οἱ πολλοὶ δὲ ἀγνοοῦντες ἐκ παραλλήλου φασίν. τηροῦμεν] φυλάττομεν.

sch th-tr nub 579b ἔξοδος] ἐκστρατείας ἢ ἄλλου του. Th 1?/2 Tr 1 [ τινός. Tr 2 ] μηδενὶ ξὺν νῷ] ἤγουν σὺν Th 2 Tr 1/2 μηδεμιᾷ σκέψει.

sch th-tr nub 580b

δῆλον ἐντεῦθεν ποιοῦσαι, ὡς οὐκ ἀποδεχόμεθα ταύτην ὡς ἀλυσιτελῆ τῆς πόλεως. ἐκ τῶν πρώτων Νεφελῶν εἰσι ταῦτα· τεθνεὼς γὰρ ἦν Κλέων ἐν ταύταις ταῖς Νεφέλαις.

sch th-tr nub 581b τὸν θεοῖς Th 1/2 Tr 1 [ θεοῖσιν Tr 2 ] ἐχθρὸν] τὸν Tr 2 Κλέωνα. βυρσοδέψην] τοιοῦτος γὰρ ἐκ προγόνων ἦν.

sch th-tr nub 581c Th 1/2 Tr 1 [ ἦν ἐκ προγόνων. Tr 2 ] ᾑρεῖσθε] ἐξελέγεσθε.

sch th-tr nub 582b τὰς ὀφρῦς συνήγομεν] ἤγουν Tr 2 σκοτασμὸν ἐποιοῦμεν δῆλον ἅπασι καθιστῶσαι, ὡς δυσχεραίνομεν τῇ περὶ τούτου αἱρέσει. βροντὴ δ’ ἐρράγη] τοῦτο ἐκ Τεύκρου Σοφοκλέους.

sch th-tr nub 583b (cf. 583a) τὸ “ βροντὴ δ ’ ἐρράγη δ ι ’ ἀστραπῆ ς ” ἐκ Τεύκρου ἐστὶ Σοφοκλέους. ἡ σελήνη δ’ ἐξέλιπε] ἤγουν ἔκλειψις τῆς σελήνης τότε Th 1 [ τότε σελήνης Th 2 Tr 1 ] ἐγένετο ἐπὶ Στρατοκλέους τῷ Βοηδρομιῶνι μηνὶ τοῦ Tr 1 (cf.

sch th-tr nub 584b 584a) ὅτι ἔκλειψις ἐγένετο σελήνης τῷ προτέρῳ ἔτει ἐπὶ Στρατοκλέους τῷ Βοηδρομιῶνι ἤτοι Νοεμβρίῳ μηνί. τὴν θρυαλλίδ’] ἤγουν Tr 2 τὸ φῶς.

sch th-tr nub 585b εἰς ... συν(ξυν) ελκύσας] ἤγουν καὶ ἡλίου ἔκλειψις ἐγένετο Th 1 Tr 1 [ γέγονε Th 2 Tr 2 ] κατά τινα τύχην Κλέωνος χειροτονουμένου Tr 1/2 . συνελκύσας Th 1 Tr 2 [ ξυνελκύσας Th 2 Tr 1 ] ] συναγαγών.

sch th-tr nub 586 φανεῖν] λάμψειν. εἵλεσθε] προυκρίνατε.

sch th-tr nub 587b Ποσειδῶν πρὸς Ἀθηνᾶν ἐρίσας ὑπὲρ τῆς πόλεως καὶ ἡττηθεὶς δυσβουλίαν ἐνέβαλεν Ἀθηναίοις, ἣν Ἀθηνᾶ πάλιν πρὸς τὸ χρηστὸν μεταβάλλει. ἐξαμάρτητ’] ἐν ταῖς βουλαῖς.

sch th-tr nub 590a ὡς] πῶς ἢ καθὰ ἢ ὅτι. ξυνοίσει] λυσιτελήσει.

sch th-tr nub 591a λάρον] ἀνόητον. ἑλόντες καὶ κλοπῆς] κρατήσαντες ἐν τοῖς δημοσίοις πράγμασιν.

sch th-tr nub 592 φιμώσητε p.i.m.] πιέσητε καὶ τιμωρήσητε, ὥσπερ ὑμῖν ἔθος ποιεῖν πρὸς τοὺς κακοὺς ἀναφανέντας περὶ τὴν πόλιν. τ’ ἀρχαῖον Th 1 τἀρχαῖον Th 2 Tr 1 [ τ’ ἀρχαῖον Tr 2 ] ] ἤγουν τὸ Th 1 Tr 1/2 ἐπὶ τῆς αἱρέσεως.

sch th-tr nub 594a ξυνοίσεται] συνδραμεῖται. τελευταῖος τῶν τετραμέτρων τροχαϊκῶν.

sch th-tr nub 594 < praeter LhCant.2. ἀντῳδὴ πάλιν πρὸς τοὺς θεούς.

sch th-tr nub 595b ἡ ἀντῳδὴ καὶ ἀντιστροφή, τὸ “ ἀμφί μοι αὖτ ε” , ὁμοία ἐστὶ τῇ στροφῇ καὶ ᾠδῇ κατὰ πάντα τὰ κῶλα· ιγʹ γὰρ καὶ αὕτη ἔχει· τὸ μέντοι ιβʹ κῶλον οὐκ ἐκ διτροχαίου τὴν ἀρχὴν ἔχει, ἀλλ’ ἐξ ἐπιτρίτου δʹ ἐστὶ καὶ διιάμβου. ἔστιν οὖν τὸ αʹ “ ἀμφί μοι αὖτε Φοῖ β ’ ἄνα ξ ” χοριαμβικὸν ὅμοιον τῷ αʹ· τὸ βʹ “ Δήλιε κυνθίαν ἔχω ν ” ὅμοιον τῷ βʹ· τὸ γʹ “ ὑψικέρατα πέτρα ν ” ὅμοιον τῷ γʹ· τὸ δʹ “ἥ τ’ Ἐφέσου μάκαιρα πάγχρυσον ἔχει ς ” ὅμοιον τῷ δʹ· τὸ εʹ “ οἶκον ἐν ᾧ κόραι σε Λυ – ” ὅμοιον τῷ εʹ· τὸ ϛʹ “ δῶν μεγάλως σέβουσι ν ” ὅμοιον τῷ ϛʹ· τὸ ζʹ “ ἥ τ ’ ἐπιχώριος ἡμετέρ α ” ὅμοιον τῷ ζʹ· τὸ ηʹ “ θεὸς αἰγίδος ἡνίοχο ς ” ὅμοιον τῷ ηʹ· τὸ θʹ “ πολιοῦχος Ἀθάν α ” ὅμοιον τῷ θʹ· τὸ ιʹ “ παρνασίαν θ ’ ὃς κατέχω ν ” ὅμοιον τῷ ιʹ· τὸ ιαʹ “ πέτραν σὺν πεύκαις σελαγε ῖ ” ὅμοιον τῷ ιαʹ· τὸ ιβʹ “ βάκχαις δελφίσιν ἐμπρέπω ν ” ὅμοιον τῷ ιβʹ, πλὴν οὐκ ἐκ διτροχαίου τὴν ἀρχὴν ἔχον, ὡς εἴρηται, ἀλλ’ ἐξ ἐπιτρίτου δʹ –––· τὸ ιγʹ “ κωμαστὴς Διόνυσο ς ” ὅμοιον τῷ ιγʹ. ἡ ἀντῳδὴ καὶ ἀντιστροφὴ κώλων ιγʹ. [10]

sch th-tr nub 595d ἀμφί μοι αὖτε Φοῖβε : ἡ ἀντῳδὴ αὕτη καὶ ἀντιστροφὴ ὁμοία ἐστὶ τῇ ᾠδῇ καὶ στροφῇ κατά τε τὰ κῶλα καὶ τὰ μέτρα. καὶ αὕτη γὰρ κώλων ἐστὶ ιβʹ ὁμοίων κατὰ πάντα ἐκείνοις, ὧν τελευταῖον “ κωμαστὴς Διόνυσο ς” . ἐπὶ τῷ τέλει δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος, καὶ ἀμφότεραι ἔξω νενευκυῖαι δηλοῦσαι τέλος σχεῖν τὰ ἀνταποδιδόμενα. (cf. [5]

sch th-tr nub 595e 595c) ἀντῳδὴ καὶ ἀντιστροφὴ κώλων ιβʹ. τῶν διθυραμβοποιῶν καθάπτεται διὰ τοῦ “ ἀμφί μο ι” .

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch th-tr nub 595f συνεχῶς γὰρ ἐκεῖνοι ταύτῃ χρῶνται τῇ λέξει· διὸ καὶ ἀμφιάνακτας αὐτοὺς ἐκάλουν. ἔστι δὲ Τερπάνδρου ἀμφ' ἐμοὶ ἄνακτα ἑκατηβόλον. τὸ "ἔσο" λάμβανε ἔξωθεν ἀπὸ τοῦ " ἀμφί μο ι " μέχρι τοῦ " ἥ τ ' ἐπιχώριος ἡμετέρα θεὸ ς" · πρὸς δὲ τὸ " Διόνυσο ς " ἔστω" λάμβανε.

sch th-tr nub 595h διὰ τοῦτο τὸ " αὖτ ε " εἴρηκε, διότι τῆς προειρημένης καὶ ὁμοίας διανοίας τῇ στροφῇ πάλιν ὁ ποιητὴς ἐξέχεται ἀναστρέφων ἐπὶ τὸ ἐξ ἀρχῆς μέλος, ὅθεν ἐξετράπη. ἀμφί μοι] περὶ ἔσο Th 1 ἔσο περί.

sch th-tr nub 595i Th 2 Tr 1 [ περὶ ἐμοὶ ἔσο α περὶ ἐμὲ ἔσο. β ] αὖτε] καὶ ἄνω γὰρ ἐν τῇ ᾠδῇ τοῦτον ἐπεκαλεῖτο.

sch th-tr nub 596a Δήλιε] ἐν Δήλῳ τιμώμενε. κυνθίαν] ὄνομα ὄρους, ἔνθα ἐτιμᾶτο Th 2 Tr 1/2 .

sch th-tr nub 596/7 ※ Vat solus (post primi versus alt. colon) . ὑψικέρατα] τὴν ὑψηλήν.

sch th-tr nub 598a μάκαιρα] ὦ Th 1/2 Tr 1 μακαρία Ἄρτεμις. πάγχρυσον οἶκον : ἤγουν Th 1 Tr 1/2 πολυτελέστατον ναόν (·) ἐν Ἐφέσῳ πολυτελέστατος ἦν ναὸς τῇ Ἀρτέμιδι Tr 2 , ὃς εἷς ἦν τῶν ἑπτὰ θεαμάτων τὰ δὲ ἦσαν ταῦτα· Ἀρτέμιδος ἐν Ἐφέσῳ ναός, Μαυσώλου τάφος ἐν Καρίᾳ, κολοσσὸς Ἡλίου εἴδωλον ἐν τῇ Ῥόδῳ, Καπετώλιον ἐν τῇ Ῥώμῃ, ὃ ἦν τόπος, ἐν ᾧ ἐχειροτόνουν τοὺς ἄρχοντας· κάπουα γὰρ ἡ κεφαλὴ παρ' Ἰταλοῖς, ὅθεν καὶ καπετάνος ἡ κεφαλή Tr 2 · αἱ Th 1/2 Tr 2 πυραμίδες τοῦ Ἰωσὴφ ἐν Αἰγύπτῳ, αἱ Th 1 Tr 2 ἑκατοντάπυλοι Θῆβαι καὶ αὐταὶ ἐν Αἰγύπτῳ, καὶ Th 1 Tr 1/2 τὰ τείχη τὰ βαβυλώνια, ἃ ἡ Tr 2 Σεμίραμις ἔκτισεν. [5]

sch th-tr nub 600a Λυδῶν] ἡ Ἔφεσος γὰρ Tr 2 πλησίον Λυδίας ἐστίν. Th 1/2 Tr 1 [ ἐστὶ Λυδίας. Tr 2 ] σέβουσιν] τιμῶσιν.

sch th-tr nub 601 ἥ τ' ... θεὸς] ἐκληρώσατο γὰρ τὰς Ἀθήνας, ὥσπερ Ἥφαιστος Λῆμνον. αἰγίδος Th 1 Tr 1/2 [ αἰγῖδος Th 2 ] ἡνίοχος] ἤγουν Th 1 ἡ τῆς αἰγίδος Th 1 Tr 1/2 [ αἰγῖδος Th 2 ] τοῦ Διὸς τὰς ἡνίας ἤτοι τὸ κράτος ἔχουσα.

sch th-tr nub 602 Th 1/2 Tr 2 [ κατέχουσα. Tr 1 ] παρνασίαν] ἐνταῦθα ἱερὸν ἦν Tr 2 Διονύσου· πλησίον δὲ τοῦ Th 1/2 Tr 1 Παρνασοῦ καὶ οἱ Δελφοί.

sch th-tr nub 604 σὺν πεύκαις σελαγεῖ] μετὰ δᾴδων φαίνει. κωμαστὴς Διόνυσος] ἐν Th 1/2 Tr 1 ᾧ μετὰ μέθης ᾠδαὶ γίνονται.

sch th-tr nub 606 < 606 > praeter Cant.2 ( > tantum) et Lh (nihil). ἀντεπίρρημα ἤτοι λόγος πάλιν πρὸς τοὺς θεατάς. [1]

sch th-tr nub 607b τὸ ἀντεπίρρημα στίχων τροχαϊκῶν τετραμέτρων κ′, ὧν τελευταῖος κατὰ σελήνην ὡς ἄγειν χρὴ τοῦ βίου τὰς ἡμέρας. ἡνί χ ' ἡμεῖς δεῦρο : τὸ ἀντεπίρρημα τοῦτο ὅμοιόν ἐστι τῷ ἐπιρρήματι.

sch th-tr nub 607c καὶ τοῦτο γὰρ ἐκ στίχων ἐστὶ τροχαϊκῶν τετραμέτρων καταληκτικῶν κ′, ὧν τελευταῖος κατὰ σελήνην ὡς ἄγειν χρὴ τοῦ βίου τὰς ἡμέρας. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. ἀντεπίρρημα στίχων κ′. [5]

sch th-tr nub 607 ※ Vat M9. οὐκ ἔστιν ἐνταῦθα τὸ " συντυχοῦσ α " ἀντὶ τοῦ "συναντήσασα", ὥς τινες οἴονται συντάσσοντες πρὸς τοῦτο τὸ " ἡμῖ ν" , ἀλλὰ τὸ " συντυχοῦσ α " λέγε ἀντὶ τοῦ "κατὰ τύχην φανεῖσα καὶ εὑρεθεῖσα" συντάσσων τὸ " ἡμῖ ν " πρὸς τὸ " ἐπέστειλε ν" .

sch th-tr nub 608a "ἐντυγχάνει γὰρ τῷδε ὁ δεῖνα" λέγε Tr 1 α [ τῷ δεῖνι" λέγεται Cant.2 β ] , συντυγχάνει δὲ ἀντὶ τοῦ "κατὰ τύχην συμβαίνει". καὶ Θουκυδίδης· "οὕτω που ξυντυχόν" ἤτοι συμβάν. οἱ δὲ ἄλλως λέγοντες ἁμαρτάνουσιν. συντυχοῦς'] συναντήσασα. [5]

sch th-tr nub 608c ἐπέστειλε] προσέταξε. ἐπέστειλε] ἐκέλευσε.

sch th-tr nub 609a πρῶτα μὲν χαίρειν] ἀρχαῖον ἦν ἔθος προτάσσειν ἐν ταῖς ἐπιστολαῖς τὸ χαίρειν. τοῖς ξυμμάχοις] αὐτῶν.

sch th-tr nub 610 θυμαίνειν] ὀργίζεσθαι ὑμῖν. δραχμήν] κεράτια ιη′ ἤτοι οὐγγίαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch th-tr nub 613a ἐξιόντας] τοῦ οἴκου. ἑσπέρας] ἐπί.

sch th-tr nub 614a πρίω Th 1/2 Tr 1 [ πρίῃ Tr 2 ] ] ἀγόραζε. πρίω] πρίῃ Tr 1 πρίῃ] πρίω Tr 2 .

sch th-tr nub 614c παῖ] δοῦλε. σεληναίης] τῆς σελήνης.

sch th-tr nub 615 ἄγειν] ὑμᾶς. ὀρθῶς] κατὰ τάξιν.

sch th-tr nub 616b ταράσσειν, ἀνατρέπειν. καὶ γὰρ ἐν Th 1/2 Tr 1 [ ὅτι ἐν μὲν Tr 2 ] τῇ πρώτῃ ἡμέρᾳ τεταγμένον ἦν τὸν Δία τιμᾶν, ἐν δὲ τῇ δευτέρᾳ τὸν Ποσειδῶ Th 1/2 [ Ποσειδῶνα Tr 1/2 ] καὶ τοὺς ἄλλους ἐν ταῖς ἄλλαις. οὗτοι δέ, ὅτε ἔδει τῷ Διὶ θυσιάζειν Th 1/2 Tr 1 [ θύειν Tr 2 ] , τῷ Ποσειδῶνι ἔθυον· ὅτε δὲ τῷ Ποσειδῶνι, τῷ Διὶ ἢ ἑτέρῳ Tr 2 . ψευσθῶσι] ἀποτύχωσι.

sch th-tr nub 619 κατὰ λόγον] κατὰ τὴν Tr 2 τάξιν. στρεβλοῦτε καὶ δικάζετε p.

sch th-tr nub 620 i.m.] κολάζετε τοὺς κακούργους δέον καθαροὺς εἶναι γνώμην καὶ χεῖρας. ἀπαστίαν] ἀσιτίαν, Th 1 Tr 1/2 νηστείαν.

sch th-tr nub 622 Μέμνων καὶ Σαρπηδών, υἱοὶ ὄντες Διός, ἀποθανόντες ἐν Τροίᾳ οὕτω παρὰ τοῖς Th 1 θεοῖς ἐτιμήθησαν, τοῦ Διὸς τοῦτο Tr 2 νομοθετήσαντος, ὡς τὴν ἡμέραν ἐκείνην, καθ’ ἣν ἀπέθανον, ἐν πένθει καὶ νηστείᾳ τοὺς θεοὺς διάγειν· καὶ τοῦτο ἐποίουν καθ’ ἕκαστον ἔτος. γελᾶτ’] χαίρετε καὶ πανηγυρίζετε.

sch th-tr nub 624 ἱερομνημονεῖν] ἑορταστὴς εἶναι. εἴσεται] γνώσεται.

sch th-tr nub 626a κατὰ σελήνην] κατὰ μῆνα. ὡς] καθά.

sch th-tr nub 626c τελευταῖος τῶν τετραμέτρων τροχαϊκῶν. > praeter Cant.

sch th-tr nub 626 2 Lv. διπλῆ καὶ εἴσθεσις στίχων ἰαμβικῶν τριμέτρων ογʹ, ὧν τελευταῖος οἵαν δίκην τοῖς κόρεσι δώσω τήμερον.

sch th-tr nub 627b μὰ τὴν ἀναπνοὴν : ὑποχωρήσαντος τοῦ χοροῦ εἰσίασιν αὖθις οἱ ὑποκριταί. ἔστιν οὖν ἡ παροῦσα εἴσθεσις τῆς διπλῆς ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ογʹ, ὧν τελευταῖος οἵαν δίκην τοῖς κόρεσι δώσω τήμερον. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. ἀναπνοὴν λέγει τὴν τοῦ ἀέρος ἀνάπνευσιν, ἣν ἀναπνέουσιν οἱ Th 1 ἄνθρωποι· χάος δὲ τὸν τόπον, ἐν ᾧ ὁ ἀήρ.

sch th-tr nub 627c δυσφορεῖ δὲ Σωκράτης ἐπὶ τῇ τοῦ Στρεψιάδου ἀγροικίᾳ· οὐχ εὑρίσκει γὰρ τοῦτο μεμνημένον τῶν μαθημάτων. Tr 2 ⋇ a (ante v.

sch th-tr nub 627 628) M9 (suo loco post v. 627). ἄπορον] ἀφυῆ.

sch th-tr nub 629b σκαιὸν] ἀπαίδευτον καὶ φαυλόνουν. σκαλαθυρμάτι’] μικρὰ καὶ εὐτελῆ παίγνια.

sch th-tr nub 630a καὶ ἐκ τούτου δὲ διαβάλλει Σωκράτην, ὡς εὐτελῆ εἰσιν, ἃ διδάσκει, καὶ οὐδενὸς ἄξια λόγου. Tr 2 ἅττα] τινά.

sch th-tr nub 633a ἔξει] ἔξελθε. ἀσκάντην] σκάμνον.

sch th-tr nub 633 Vat solus. ἐξενεγκεῖν] ἐμαυτόν.

sch th-tr nub 634b οἱ κόρεις] ὑφ’ ὧν πιέζομαι ἐπὶ τούτου καθήμενος. ἀνύσας] σπεύσας.

sch th-tr nub 635b κατάθου] αὐτὸν ἐνταῦθα. πρόσεχε τὸν νοῦν] προσκόλλα Th 1 Tr 1/2 οἷς ἂν εἴπω.

sch th-tr nub 635d ἰδού] τοῦτο ποιῶ. ἐπῶν] ποιητικῶν λόγων.

sch th-tr nub 638b ῥυθμός ἐστιν ὁ ἀπὸ τῆς τοιᾶσδε ἢ τοιᾶσδε συνθέσεως ἀποτελούμενος τῆς φωνῆς κρότος. ὅτι πατὴρ μέτρου ῥυθμός, καὶ ὅτι ἀρχαία τῶν μέτρων καὶ ῥυθμῶν ἡ διδασκαλία.

sch th-tr nub 638d ἔστι δὲ ἐνταῦθα Th 1 Tr 1 [ ἐντεῦθεν δὲ ἔστι Tr 2 ] γνῶναι, ὡς οὐ μόνον τἄλλα Th 1 Tr 1 [ τ ` ἄλλα Tr 2 ] τῶν μαθημάτων οἱ πάλαι Th 1 Tr 1 [ παλαιοὶ Tr 2 ] ἐδιδάσκοντο, ἀλλὰ καὶ τὰ περὶ μέτρων καὶ ἐπῶν καὶ ῥυθμῶν τοῦ λόγου, εἰ καὶ νῦν ὡς ἄχρηστόν τι καὶ παντελῶς ἀσυντελὲς πρὸς τὸν λόγον οἱ πολλοὶ ἀποσείονται, κακῶς φρονοῦντες. ἐπειδὴ γὰρ καὶ Θεὸς αὐτὸς μέτρῳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ῥυθμῷ τὸ πᾶν δὴ τοῦτο σοφῶς συνεστήσατο, τὸν αὐτὸν δὴ τρόπον καὶ ποιηταὶ μιμούμενοι Th 1 μέτρῳ καὶ ῥυθμῷ τὸν αὐτῶν λόγον ἐρύθμισαν. Th 1 Tr 1 [ αὐτῶν ἐρρύθμισαν λόγον. Tr 2 ] δέον οὖν ἐστι πρὸς τοῖς ἄλλοις καὶ τὰ περὶ μέτρων μανθάνειν ζητεῖν. οὕτω γὰρ ἂν καὶ πολλὰ τῶν τοῖς ποιηταῖς ῥηθέντων διορθοῦν ἔχοι τις τῷ χρόνῳ παραφθαρέντα. ἀκούσας περὶ μέτρων Στρεψιάδης Tr 2 τὸ δημοτικὸν μέτρον, ᾧ μετροῦσι τὰ σπέρματα, σκαιῶς ὑπείληφεν ·διὸ “ περὶ μέτρων ἔγωγ ε ” φησίν Tr 2 . [10]

sch th-tr nub 639a
καὶ ἐκ τούτου Tr 1/2 δὲ Tr 2 διαβάλλει Σωκράτην, ὅτι τὰ μὴ οἰκεῖα τῇ τέχνῃ ἐπαγγέλλεται διδάσκειν. οὔτε γὰρ ποιητὴς ἦν οὔτε μουσικός. Tr 1/2 ἔναγχος] χθές.

sch th-tr nub 640a
ἀλφιταμοιβοῦ] σιτοπώλου. παρεκόπην] ἠπατήθην.

sch th-tr nub 640c
ἰστέον Th 1/2 Tr 1 , ὅτι ὁ μέδιμνος τεσσαράκοντα καὶ ὀκτὼ χοίνικας ἐχώρει. ἡγεῖ] ἡγῇ.

sch th-tr nub 642b
τὸ τρίμετρον] τὸ ἰαμβικόν. τὸ τετράμετρον] τὸ ἡρωϊκόν.

sch th-tr nub 643a
οὐδὲν] ἥγημαι. ἡμιεκτέου] ἤγουν Tr 2 τετραχοινίκου.

sch th-tr nub 643b
τῶν γὰρ τεσσαρακονταοκτὼ τὸ ἕκτον ἐστὶν ὀκτώ, τὸ δὲ ἥμισυ τῶν ὀκτὼ τέσσαρα. Tr 2 περιδοῦ νῦν ἐμοί] ἤγουν περὶ τούτου, εἰ μὴ Tr 2 οὕτως ἔχει, δὸς πρόστιμον.

sch th-tr nub 644b
περιδοῦ νῦν ἐμοί] ἤγουν Tr 2 ὑπὸ δεσμὸν προστίμου γενοῦ. τὸ “ περιδο ῦ ” οὕτω γίνεται· δίδημι τὸ δεσμεύω· ὁ μέλλων διδήσω ἑτεροκλίτως· ὁ ἀόριστος ἄχρηστος, ὁ β′ ἔδην, ὁ μέσος ἐδέμην, ἔδεσο, καὶ ἀποβολῇ τοῦ ς ἔδεο καὶ ἔδου, καὶ τὸ προστακτικὸν δοῦ.

sch th-tr nub 644c
ὅτι δὲ οὕτω γίνεται, δῆλον· καὶ Ὅμηρος γὰρ λέγει δίδει μόσχοισι λύγοισι καὶ πάλιν δεῦρο νῦν τρίποδα περιδώμεθα. ἐς κόρακας] ἄπιθι. [5]

sch th-tr nub 647a
ταχύ γ’ Th 1 Tr 1/2 [ ταχὺ δ’ Th 2 ] ] εἰρωνικόν. ῥυθμῶν] ἤχων.

sch th-tr nub 649
κομψὸν] πιθανὸν καὶ ἡδύν. ἐπαΐειν] αἰσθάνεσθαι.

sch th-tr nub 651a
κατ’ ἐνόπλιον ... δάκτυλον] εἴδη ῥυθμῶν ἀμφότερα. τὸ κατ’ ἐνόπλιον εἶδός ἐστι ῥυθμοῦ, πρὸς ὃ ὠρχοῦντο σείοντες τὰ ὅπλα· ἔστι δὲ ὁ ἐν ἡμιολίῳ.

sch th-tr nub 651b
ὁ δὲ ῥυθμὸς κρούματος εἶδος κατὰ δάκτυλον, ᾧ χρῶνται οἱ αὐληταί. Haec additamenta adiunxit α: ἐκ τριποδίας ἀναπαιστικόν, ὃς δέχεται πάντας τοὺς δισυλλάβους πόδας· οἱ δὲ ἐνόπλιον τὸν ἀμφίμακρον, ὃς καὶ κρητικὸς καλεῖται ἀπὸ τοῦ εἰς τοὺς Κουρήτας μέλους· τούτῳ γὰρ τῷ μέτρῳ ἐχρῶντο σείοντες τὰ ὅπλα.

sch th-tr nub 651b alpha
κατὰ δάκτυλον δὲ ἀριθμητικὸν ἢ γεωμετρικόν· ἡ γὰρ μακρὰ πρὸς τὰς δύο βραχείας ἴσον τι ἔχει. κατὰ δάκτυλον δὲ ῥυθμός ἐστιν ὁ ἐν ἴσῳ λόγῳ. [5]

sch th-tr nub 651b beta
ὁ δὲ ἐνόπλιος, καὶ προσοδιακὸς λεγόμενος ὑπό τινων, σύγκειται ἐκ σπονδείου καὶ πυρριχίου καὶ τροχαίου καὶ ἰάμβου. συνεμπίπτει δὲ οὗτος ἤτοι τριποδίᾳ ἀναπαιστικῇ ἢ βάσεσι δυσίν, ἀναπαιστικῇ καὶ ἰωνικῇ. τουτουὶ τοῦ δακτύλου] τὴν πόσθην Th 1 [ πόστην Th 2 Tr 1/2 ] αὐτοῦ ἔδειξεν.

sch th-tr nub 654
οὑτοσί] ἦν. ἀγρεῖος] ἄγροικος.

sch th-tr nub 655b
ὦ’ζυρέ Th 1/2 Tr 1 [ ὦζυρέ Tr 2 ] ] ταλαίπωρε. ἅττ’] ἅτινα.

sch th-tr nub 661
ἔπαιξε τὸν ἀλεκτρυόνα ὡς τετράπουν καταριθμήσας γελοίου χάριν. Ἀττικοὶ δὲ καὶ τὰς θηλείας οὕτως ἐκάλουν· Πλάτων γὰρ ὁ κωμικὸς οὕτω λέγει· ἐνίοτε πολλαὶ τῶν ἀλεκτρυόνων καὶ ὑπήνεμα τίκτουσιν ᾠὰ πολλάκις. κατὰ ταυτὸν] ὁμοίως.

sch th-tr nub 664a
πῶς δή] καλῶ κατὰ ταυτόν. ἀλεκτρυὼν] ὁ.

sch th-tr nub 664c
κἀλεκτρυών] ἡ. νὴ τὸν Ποσειδῶ] οὕτω λέγω.

sch th-tr nub 667
νὴ τὸν Ἀέρα] μιμεῖται καὶ αὐτὸς τοὺς φιλοσόφους. ὡς] ὥστε.

sch th-tr nub 668b

μόνον] μόνου. διαλφιτώσω] ἀλφίτοις περιπάσω.

sch th-tr nub 669b τὴν Th 1/2 [ τὸν Tr 1/2 ] κάρδοπον] τὴν Tr 2 σκάφην. κάρδοπον] σκάφην.

sch th-tr nub 673 ἢ πρὸς τὸ “ φράσο ν ” στῖξον καὶ Th 1 [ στίξας Th 2 Tr 1/2 ] τὸ λοιπὸν κατ’ ἐρώτησιν λέγε ἢ τὸ ὅλον ἓν ἔστω. τοῦτον τὸν Κλεώνυμον Th 1 Tr 1/2 ὡς λίαν πένητα νῦν διαβάλλει· προϊὼν δὲ καὶ ὡς θηλυδρίαν κωμῳδήσει, ὅταν εἴπῃ “ καρδόπ η , Κλεωνύμ η” .

sch th-tr nub 676 ἀνεμάττετο] ἐζύμου. ὅπως] σκόπει.

sch th-tr nub 678 Σωστράτην] καὶ τοῦτον ὡς θηλυδρίαν κωμῳδεῖ. ὀρθότερον] ἢ ἐγὼ εἶπον.

sch th-tr nub 680 ἣν ἂν] ὅμοιον. ἅττ’] ἅτινα.

sch th-tr nub 687 ταῦτά γ’] ὁ Μελησίας καὶ ὁ Ἀμυνίας. οὐκ .

sch th-tr nub 688 .. ἐστιν] ἤγουν οὐκ ἄρρενα ταῦτα ὑμεῖς ἡγεῖσθε. Ἀμυνίᾳ] τῷ.

sch th-tr nub 690 ὅπως ἂν] πῶς καλέσω. τὸν .

sch th-tr nub 691 .. καλεῖς Th 1/2 Tr 1 [ 692. ὅστις οὐ στρατεύεται Tr 2 ] ] διαβάλλει τοῦτον ὡς ἀπόλεμον καὶ δειλόν. κατακλινεὶς δευρί] καταθεὶς σεαυτὸν Th 1 Tr 1/2 [ ἑαυτὸν Th 2 ] ἐνταῦθα εἰς τὸν ἐξ ἀρνακίδων ἐστρωμένον κράββατον.

sch th-tr nub 694a Th 1/2 Tr 1 [ μεστὸν κόρεων κράββατον. Tr 2 ] τοῦτο Th 1 Tr 1 [ τὸ “ τί δρ ῶ ” Tr 2 ] διὰ μέσου εἴρηται· πρὸς δὲ τὴν “ κατακλινεὶ ς ” μετοχὴν τὸ “ ἐκφρόντισο ν ” σύναψον.

sch th-tr nub 694c τὸ “κατακλιθείς” μὲν κοινόν φασι, τὸ δὲ “κατακλινείς” ἀττικόν· ἐμοὶ δὲ δοκεῖ δευτέρου εἶναι ἀορίστου διὰ τὸ μέτρον ἐκφρόντισόν] σκόπησον.

sch th-tr nub 695b τῶν ... πραγμάτων] ὧν χρῄζεις· λέγω δὴ τὸ Th 1 [ τοῦ Th 2 Tr 1/2 ] εὑρεῖν μηχανήν, ὅπως ἀποστερήσῃς Th 1(?) /2 [ ἀποστερήσεις Tr 1/2 ] τὰ χρήματα. μὴ δῆθ’ ἱκετεύω] κατακλιθήσομαι.

sch th-tr nub 696b 1 μ’ ἔασον] τοῦτο διὰ μέσου Th 1 . τὸ δὲ “ ἀλ λ ’ εἴ γε χρ ή ” πρὸς τὸ “ ἐκφροντίσα ι ” σύναπτε Th 1 (mrg. iuxta praeced). τὸ “ ἀλ λ ’ εἴ γε με Th 2 χρ ή ” πρὸς τὸ “ ἐκφροντίσα ι ” σύναπτε, τὸ δὲ “ χάμαι μ ’ ἔασο ν ” διὰ μέσου. [5]

sch th-tr nub 696 col 2 Th 2 Tr 1/2 χαμαί] κατὰ γῆς.

sch th-tr nub 697b αὔτ’] τὰ ἐμά. ἐνταῦθ’] ἤγουν εἰς τὸν κράββατον.

sch th-tr nub 697d ἐκφροντίσαι] σκέψασθαι. οὐκ .

sch th-tr nub 698 .. ἄλλα] ἐκτὸς τοῦ ἐν τῷ κραββάτῳ σε Th 1/2 Tr 1 σκέψασθαι. τελευταῖος τῶν τριμέτρων ἰάμβων.

sch th-tr nub 699b κόρεσι] ὧν πλήρης ὁ κράββατος Th 1 Tr 1/2 . > .

sch th-tr nub 700a φρόντιζε δὴ : ἐντεῦθεν ἄρχεται ἡ περίοδος τῆς διπλῆς κώλων οὖσα χοριαμβικῶν κ′, ὧν α′ “ φρόντιζε δὴ καὶ διάθρε ι ” χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου τρίτου ––– καὶ χοριάμβου ––· τὸ δεύτερον “ πάντα τρόπον τε σαυτὸ ν ” ὅμοιον καταληκτικὸν ἑφθημιμερὲς ἐκ χοριάμβου καὶ βακχείου ––· τὸ γ′ “ στρόβει πυκνώσα ς ” ὅμοιον μονόμετρον ὑπερκατάληκτον πενθημιμερὲς ἐκ διιάμβου καὶ συλλαβῆς· τὸ δ′ “ ταχὺς δ ’ ὅταν εἰς ἄπορον πέσῃ ς ” χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον ἐκ διιάμβου, χοριάμβου καὶ ἰάμβου· τὸ ε′ “ ἐς ἄλλο πήδ α νόημα φρενό ς ” ὅμοιον ἐκ διιάμβου, διτροχαίου καὶ ἰάμβου διὰ τὴν ἀδιάφορον· τὸ ϛ′ “ ὕπνος δ ’ ἀπέστω γλυκύθ υ μος ὀμμάτω ν ” τρίμετρος ὅμοιος ἀκατάληκτος ἐκ διιάμβου, χοριάμβου καὶ διιάμβου· τὸ ζ′ “ ἰατταταὶ ἰαττατα ί ” δίμετρον ἀκατ[άληκτον] ἐκ δύο διιάμβων· τὸ η′ “ τί πάσχεις τί κάμνει ς ” δίμετρον βραχυκατάληκτον ἀντισπαστικὸν ἐξ ἀντισπάστου ἑφθημιμερές· τὸ θ′ “ ἀπόλλυμαι δείλαιος ἐκ τοῦ σκίμποδο ς ” τρίμετρος ἀκατάληκτος ἴαμβος· τὸ ι′ “ δάκνουσί μ ’ ἐξέρποντες οἱ Κορίνθιο ι ” ὅμοιος· τὸ ια′ “ καὶ τὰς πλευρὰς δαρδάπτουσι ν ” ἰαμβικὸν δίμετρον ἐκ δύο δισπονδείων· τὸ ιβ′ “ καὶ τὴν ψυχὴν ἐκπίνουσι ν ” ὅμοιον· τὸ ιγ′ “ καὶ τοὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὄρχεις ἐξέλκουσι ν ” ὅμοιον· τὸ ιδ′ “ καὶ τὸν πρωκτὸν διορύττου – ” δίμετρον ἀκατάληκτον ἐκ δισπονδείου καὶ ἰωνικοῦ ἀπ’ ἐλάττονος, καὶ ἔστιν ἰωνικόν· τὸ ιε′ “ σιν καί μ ’ ἀπολοῦσι ν ” δίμετρον βραχυκατάληκτον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ τροχαίου, ἰωνικόν· τὸ ιϛ′ “ μὴ νῦν βαρέως ἄλγει λία ν ” ἰωνικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος, ἐπιτρίτου δ′ καὶ συλλαβῆς· τὸ ιζ′ “ καὶ πῶς ὅτε φροῦδα τὰ χρήματα φρούδη χροι ά ” ἰωνικὸς τετράμετρος ἐξ ἰωνικοῦ ἀπὸ μείζονος ‒‒, χοριάμβου ‒‒, ἰωνικοῦ ἀπ’ ἐλάττονος ‒‒ καὶ σπονδείου· τὸ ιη′ “ φρούδη ψυχὴ φρούδη δ ’ ἐμβά ς ” δίμετρον ἐκ δύο δισπονδείων· τὸ ιθ′ “ καὶ πρὸς τούτοις ἔτι τοῖσιν κακοῖ ς ” τρίμετρος ἐκ δισπονδείου, ἰωνικοῦ ἀπ’ ἐλάττονος ‒‒ καὶ ἰάμβου· τὸ κ′ “ φρουρᾶς ᾄδων ὀλίγου φροῦδος γεγένημα ι ” τρίμετρος ὑπερκατάληκτος ἐκ δισπονδείου, ἰωνικοῦ ἀπ’ ἐλάττονος, χοριάμβου καὶ συλλαβῆς. φρόντιζε δὴ καὶ διάθρει : ἔκθεσις τῆς διπλῆς ἀμοιβαία ἐκ κώλων καὶ στίχων κβ′, ὧν τὸ α′ χοριαμβικὸν δίμετρον ἀκατάληκτον· τὸ β′ ὅμοιον καταληκτικὸν ἤγουν ἑφθημιμερές· τὸ γ′ πενθημιμερές, εἰ δὲ βούλει ἰαμβικά· τὸ δ′ τρίμετρον βραχυκατάληκτον· τὸ ε′ ὅμοιον· τὸ ϛ′ τρίμετρον ἀκατάληκτον· τὸ ζ′ ἰαμβικὸν δίμετρον ἀκατάληκτον· τὸ η′ δίμετρον βραχυκατάληκτον ἀντισπαστικόν· τὸ θ′ καὶ ι′ ἴαμβοι τρίμετροι· τὰ δὲ ἑξῆς πάντα ἀναπαιστικά· τὸ ια′, τὸ ιβ′, τὸ ιγ′, τὸ ιδ′ ἀναπαιστικὰ δίμετρα καταληκτικὰ εἰς δισύλλαβον· τὸ ιε′ μονόμετρον καταληκτικὸν εἰς δισύλλαβον· τὸ ιϛ′ ὅμοιον τῷ ια′· τὸ ιζ′ ἀναπαιστικὴ βάσις· τὸ ιη′, τὸ ιθ′, τὸ κ′ ὅμοιον τῷ ια′· τὸ κα′ ἀναπαιστικὴ βάσις, ὃ παρατέλευτον ὀνομάζεται· τὸ κβ′ “ ὀλίγου φροῦδος γεγένημα ι ” ἑφθημιμερές, ὃ καλεῖται, ὡς εἴρηται, παροιμιακόν.

sch th-tr nub 700b ἔστι δὲ καὶ ταῦτα πολυσχημάτιστα διὰ τὸ διάφορα, ὡς εἴρηται, δέχεσθαι μέτρα. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι, ὡς πολλάκις εἴρηται. ἰστέον, ὅτι τὰς ἐκθέσεις τῶν διπλῶν οὐκ ἀεὶ διὰ τοῦ αὐτοῦ μέτρου ἐκφέρουσιν, ἀλλὰ καὶ δι’ ἑτέρου· ἔστι δ’ ὅτε καὶ διὰ διαφόρων, ὡς κἀνταῦθα. διάθρει] σκόπει.

sch th-tr nub 702a στρόβει] ταῖς φροντίσι κίνει. πυκνώσας] ἤγουν συναγαγὼν πάντα τὸν νοῦν σου.

sch th-tr nub 709 τοῦ σκίμποδος] τοῦ Th 1 Tr 1/2 κραββάτου. ἐξέρποντες] ἐξερχόμενοι τοῦ κραββάτου.

sch th-tr nub 710b δέον “οἱ κόρεις” εἰπεῖν, “Κορίνθιοι” εἶπεν, ἐπειδὴ οἱ Th 1/2 Tr 1 Ἀθηναῖοι καὶ οἱ Th 1/2 Tr 1 Κορίνθιοι κατ’ ἐκεῖνο καιροῦ πόλεμον εἶχον καὶ οἱ Κορίνθιοι τὰ τῆς Ἀττικῆς ἐδῄουν. δαρδάπτουσι Th 1/2 [ δαρδάπτουσιν Tr 1/2 ] ] κατεσθίουσι.

sch th-tr nub 711 Th 1/2 Tr 1 [ κατεσθίουσιν. Tr 2 ] τὴν ψυχὴν] τὸ αἷμα.

sch th-tr nub 712b ἰστέον, ὅτι τρεῖς ψυχάς φασι· τὴν αὐξητικήν, ἥτις ἐστὶ τῶν φυτῶν καὶ τῶν ζῴων· τὸ αἷμα, ἥτις ἐστὶ μόνων τῶν ζῴων· καὶ τὴν λογικὴν ψυχήν, ἥτις ἐστὶ μόνων τῶν λογικῶν ζῴων τῶν ἐν σώματι. καὶ πῶς] οὐ βαρέως ἀλγοίην ἄν.

sch th-tr nub 718a φροῦδα τὰ χρήματα] διὰ τὸν υἱόν. φρούδη χροιά] διὰ τὸ μεθ’ ὑμῶν γενέσθαι· ὠχροὶ γάρ ἐστε.

sch th-tr nub 719a ψυχή] τὸ αἷμα. οὐκ εἴρηκεν ὄπισθεν, ὅτι τὰς ἐμβάδας ὑπελύσατο, ὅτε εἰσῄει εἰς τὸ ὑπὸ γῆν ἐκεῖνο φροντιστήριον, ἀλλὰ μόνον, ὅτι τὸ ἱμάτιον ἐξεδύσατο· καὶ οὐδὲν θαυμαστόν, ὃ ἐκεῖ μὲν παρῆκε, νῦν λέγειν, τὰς ἐμβάδας, ὃ δὲ ἐκεῖ εἶπε, τὸ ἱμάτιον, νῦν οὐ λέγειν.

sch th-tr nub 719c ἐμβάς] τὰ ὑποδήματα. παροιμία τὸ “φρουρᾶς ᾄδειν” ἐπὶ τῶν ἀγρυπνούντων καὶ φροντιζόντων πάνυ λεγομένη.

sch th-tr nub 721a οἱ γὰρ ἐπιτραπέντες ἐν νυκτί τινα φυλακὴν ᾄδουσιν, ἵνα μὴ ὑπὸ τοῦ ὕπνου μαλακισθέντες ἐκλίπωσιν, ὃ φυλάσσουσιν. εἰκότως δ’ ἐνταῦθα ἡ παροιμία ἐλήφθη. καὶ γὰρ αὐτὸς ἐν τῇ κλίνῃ κείμενος οὐκ ἐκοιμᾶτο, ἀλλ’ ἐφρόντιζεν Th 1/2 Tr 1 . φρουρᾶς] ἕνεκα.

sch th-tr nub 722 ὀλίγου δέον. [ δέοντος. β. ] ⟨722⟩ praeter Cant.

sch th-tr nub 722bis

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2 (hic > tantum). ἐπεισόδιον καὶ εἴσθεσις ἑτέρας διπλῆς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων πα′, ὧν τελευταῖος ἀλλ’ ἐπανάμεινόν μ’ ὀλίγον εἰσελθὼν χρόνον.

sch th-tr nub. 723b (cf. 723a) οὗτος τί ποιεῖς : κορωνίς, ὅτι ἑτέρως εἰσίασιν οἱ ὑποκριταί. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι πα′ ... χρόνον. ἐπὶ τῷ τέλει κορωνίς. περιλειφθήσεται] ἐναπομενεῖ.

sch th-tr nub. 726a ἀπολεῖ] ἀπολῇ. ἀπόλωλ’] ὑπὸ τῶν κόρεων.

sch th-tr nub. 727a μαλθακιστέ’] καταραθυμητέα Th 1 καταραθυμητέον. Th 2 [ καταρραθυμητέα Tr 1 καταρραθυμητέον. Tr 2 ] (οὐ) μαλθακιστέ’] ἤγουν Th 1 [ οὐ Tr 2 ] πρὸς τὰ δήγματα τῶν κόρεων.

sch th-tr nub. 727b περικαλυπτέα] ἄξιόν ἐστι περικαλυφθῆναι τοῖς στρώμασιν. εὑρητέος Th 1 Tr 1/2 [ ἐξευρητέος Th 2 ] ] ἄξιός ἐστιν ἐφευρίσκεσθαι καὶ μηχανᾶσθαι.

sch th-tr nub. 729a κἀπαιόλημ’ Th 1 Tr 1/2 [ κἀπαιόλημα Th 2 ] ] ἀπάτη καὶ πανουργία. ἐπιβάλοι] ἐμοί.

sch th-tr nub. 730 ἀρνακίς ἐστι Tr 2 τὸ τοῦ ἀρνὸς κῴδιον. Th 1 Tr 1 [ δέρμα. Tr 2 ] παίζει δὲ ἐνταῦθα, γνώμην ἐξ ἀρνακίδων εἰπὼν ἀποστερητίδα, ἤγουν γνώμην ἐξαρνήσεως καὶ ἀποστερήσεως. ὤφειλε δὲ εἰπεῖν· τίς ἄν μοι ἐπιβάλοι καὶ ἐπιθήσει σκέπασμα ἐξ ἀρνακίδων, ὡς ἂν γνώμην εὕροιμι ἀποστερητικήν; ὁ δὲ παίξας Th 1 Tr 1 [ παίζων Tr 2 ] οὕτως ἐξήνεγκεν. νυν] δή.

sch th-tr nub. 731b ἀθρήσω] ἴδω Tr 2 , σκοπήσω. ἔχεις τι] φρόντισμα.

sch th-tr nub. 733b οὕτως εἰώθασι λέγειν πρὸς ἀλλήλους ἁλιεῖς τε καὶ θηραταί· ἔχεις τι; τὸ πέος] τὸ αἰδοῖον · παίζει δέ.

sch th-tr nub. 734 β. περὶ τοῦ] φροντίσω.

sch th-tr nub. 736b μοι ... Σώκρατες] παρίστησιν ἐντεῦθεν τὴν ἄκραν Th 1 [ ἄγαν Th 2 Tr 1/2 ] αὐτοῦ λήθην. ἀποδῶ] αὐτούς.

sch th-tr nub. 739b μηδενὶ] τῶν δανειστῶν. νυν] δή.

sch th-tr nub. 740b σχάσας] χαλάσας, ἀφείς. περιφρόνει] περισκόπει.

sch th-tr nub. 741b τὰ πράγματα] ἃ βούλει. ὁ γὰρ Th 2 Tr 1 [ ὅτι ὁ Tr 2 ] σκεπτόμενος οὕτω διαιρεῖ τὴν βουλήν· οἷον, εἰ τόδε ποιήσω, τόδε ἀπαντήσει· καὶ εἰ τόδε, τόδε.

sch th-tr nub. 743a ἀτρέμα] ἡσύχως. ἰστέον, ὅτι οἱ Ἀττικοὶ πάντα τὰ ἑνικά τε καὶ πληθυντικὰ τρίτα πρόσωπα τῶν ῥημάτων καὶ τὰς τῶν ὀνομάτων δοτικὰς τῶν πληθυντικῶν συμφώνου τε καὶ φωνήεντος ἐπιφερομένου μετὰ τοῦ ν γράφουσιν, ὡς ἔστι σαφῶς συμβαλεῖν ταῖς τοῖς πάλαι τῶν ἀνθρώπων πεπονημέναις ἐντυγχάνοντα βίβλοις, οἱ δὲ Ἴωνες δίχα τοῦ ν.

sch th-tr nub. 743b τούτοις οὖν καὶ ἀμφοτέροις οἱ ποιηταὶ παρακολουθοῦντες, καὶ δὴ καὶ τῇ ἀνάγκῃ τοῦ μέτρου ἑπόμενοι, πολλάκις μὲν συμφώνου ἐπιφερομένου μετὰ τοῦ ν ἐκφέρουσι, πολλάκις δὲ δίχα τοῦ ν· φωνήεντος δὲ ἐπιφερομένου μετὰ τοῦ ν, ἔστι δ’ ὅτε καὶ δίχα τοῦ ν, τῇ ἰωνικῇ ἑπόμενοι συνηθείᾳ. τοιοῦτον δή τι τῇ τοῦ μέτρου ἀνάγκῃ καὶ ἐν τοῖς εἰς ν καὶ εἰς ς λήγουσιν ἐπιρρήμασι ποιεῖν εἰώθασιν, οἷον τῷ “πρόσθεν”, “νέρθεν”, “ὑπένερθεν”· τῷ “οὕτως”, “αὖθις”, “πολλάκις”, “εὐθύς”, “ταχύς”, “ἀτρέμας”, καὶ τοῖς ὁμοίοις. τοῦτο δὲ οὕτως ἔχον εὑρήσεις ἀκριβῶς σκοπῶν. ἀφεὶς] τοῦτο.

sch th-tr nub. 744b ἄπελθε] ἐπ’ ἄλλο. ζυγώθρησον Th 2 [ ζυγώθρισον Tr 1 ζυγόθρισον Tr 2 ] ] σκόπησον · ἀπὸ μεταφορᾶς τοῦ ζυγοῦ.

sch th-tr nub. 745 Tr 2 τὸ τί] ἐφεῦρες.

sch th-tr nub. 749a πριάμενος] μισθώσας. τοὺς Θετταλοὺς πάνυ δεινοὺς φαρμακουργοὺς λέγουσι.

sch th-tr nub. 749b φασὶ γὰρ περὶ τῆς Μηδείας, ὡς, ἡνίκα ἐκ Κόλχων ἔφευγε μετὰ τοῦ Ἰάσωνος, Th 2 Tr 1 [ Ἰάσονος, Tr 2 , ] ἐν Θετταλίᾳ τὸ αὐτῆς βαλάντιον Th 2 Tr 1 [ βαλλάντιον Tr 2 ] μεστὸν ὂν

φαρμάκων λάθρᾳ πεσὸν ἀπώλεσε· καὶ διὰ τοῦτο φαρμακουργός ἐστι Θετταλία. καθέλοιμι] καταβιβάσαιμι Tr 1/2 δι’ αὐτῆς. [5]

sch th-tr nub 751a καθείρξαιμ’] κλείσαιμι. ἐς λοφεῖον] εἰς Th 2 Tr 1 ἀγγεῖον.

sch th-tr nub 755a τελουμένης γὰρ Th 2 Tr 1 [ , φησί, Tr 2 ] αὐτῆς Th 2 [ τῆς σελήνης οἱ τόκοι Tr 1/2 ] δίδονται. εἰ δὲ οὐκ ἂν ἀνατέλλοι, πῶς ἂν οἱ δανεισταὶ γνόντες τὸν μῆνα τελούμενον ἀπαιτήσαιεν τοὺς τόκους; ὥστε εἰ μηκέτι ἀνατέλλοι σελήνη, οὐδ’ αὐτὸς ἀποδοίην τοὺς τόκους. Tr 2 ὁτιὴ τί δή] παράλληλα.

sch th-tr nub 755b καὶ Ὅμηρος· τιὴ τί δὴ λείπεσθε, φέριστοι; κατὰ μῆνα κτλ.

sch th-tr nub 756 ] ἐπειδὴ κατὰ μῆνα οἱ τόκοι δίδονται, ὥσπερ πάλιν ἐξ ἀρχῆς τοῦτο δανείζεται. προβαλῶ τι δεξιόν] προθήσω, εἰς ὃ δεῖ σε μηχανὴν εὑρεῖν.

sch th-tr nub 758a δίκη] ἔγκλησις. ἰστέον, ὅτι ἐν τοῖς δικασταῖς οἱ δανεισταὶ ἐρχόμενοι ἔλεγον, ὡς ὁ δεῖνα αὐτοῖς ὀφείλει.

sch th-tr nub 758b εἶτα ὁ τοῦ δικαστηρίου γραμματεὺς ἔγραφε τοῦτο· καὶ μετὰ ταῦτα ὁ ὀφείλων καλούμενος ἀπῃτεῖτο τὸ δάνειον. ὅπως] πῶς.

sch th-tr nub 760a ὅπως (pr.)] πῶς. ὅπως (alt.

sch th-tr nub 760b )] πῶς. εἶλε] στρέφε.

sch th-tr nub 762 ἀποχάλα] ἀφίει. λινόδετον] ἐν λίνῳ δεδεμένην.

sch th-tr nub 763b μηλολόνθην] χρυσοκάνθαρον. τοῦ ποδός] ἐπί.

sch th-tr nub 763d ζωΰφιόν τι ἐστὶν ἡ μηλολόνθη χρυσίζον κανθάρῳ ὅμοιον, ὃ δεσμοῦντες λίνῳ οἱ παῖδες Tr 1 [ οἱ παῖδες λίνῳ Tr 2 ] εἰς ἀέρα ἐκπεταννύουσιν. λέγεται δὲ οὕτως ἀπὸ τοῦ τὴν ὄνθον κατασκευάζειν εἰς σχῆμα μήλου. Tr 2 τῆς δίκης] τῆς πεντεταλάντου, ἥν μοι Tr 2 προύβαλες.

sch th-tr nub 765 ὁμολογεῖν] συμφωνεῖν. ἤδη] ποτέ.

sch th-tr nub 766b τοῖσι φαρμακοπώλαις] τοῖς Tr 2 μυρεψοῖς. ἐντεῦθέν ἐστι δῆλον, ὡς οἱ μυρεψοὶ κατεσκεύαζον τὰ φάρμακα, οἷς ἰατροὶ χρῶνται πρὸς θεραπείαν ἀνθρώπων· ἐξ ὧν οὗτοι ταῦτα ὠνοῦνται.

sch th-tr nub 767 {ἑώρακας] συνίζησις.} ὕαλον] τὸ λεγόμενον ἰδιωτικῶς κρύον.

sch th-tr nub 768b ὕαλον] χ. ὅτι ἡ ὕελος θηλυκῶς, καὶ ἡ ὕαλος Tr 2 διὰ τοῦ α· διὸ τὸ Tr 1 [ ἐπισημειοῦται τὴν λέξιν τῷ Tr 2 ] χ.

sch th-tr nub 768c Ὅμηρος δὲ οὐκ οἶδε τοὔνομα Tr 1 [ τ ̀ οὔνομα Tr 2 ] τοῦτο, ἀλλὰ ἤλεκτρος μέν ἐστι παρ’ αὐτῷ καὶ τοῖς ἀρχαίοις, ὕαλος δὲ οὔ. ὅτι ἐν ἀκμῇ θέρους ἐν καιρῷ μεσημβρίας τιθέασι τὴν λίθον ταύτην ἐν ἡλίῳ, καὶ ἐκπυρωθείσης τῷ σφοδρῷ τῆς ἡλιακῆς ἀκτῖνος προσαγαγόντες τὴν κοινῶς λεγομένην ἴσκαν παραδόξως ἐκ ταύτης πῦρ ἅπτουσιν.

sch th-tr nub 769 τί δῆτ’ ἄν] ἐκ ταύτης ἐργάσαιο. ἐκτήξαιμι] καύσαιμι δίκην κηροῦ Tr 2 .

sch th-tr nub 773a σοφῶς] εὗρες τοῦτο. οὐχ ἁπλῶς ὀμνύουσι Tr 1 [ ὄμνυσι Tr 2 ] νῦν Tr 2 τὰς Χάριτας · ὀπίσω γὰρ Tr 1 [ , ἀλλ’ ὅτι ὀπίσω μὲν Tr 2 ] τῆς Ἀθηνᾶς ἦσαν γεγλυμμέναι ἐν τῷ τοίχῳ, (·) ἃς ἐλέγετο ὁ Σωκράτης γλύψαι.

sch th-tr nub 773b Tr 1 [ ἐλέγετο δέ, ὅτι Σωκράτης ταύτας ἔγλυψεν. Tr 2 τὸ γὰρ πρῶτον λιθογλύφος ἦν οὗτος. αἰνίττεται οὖν τὴν πρώτην τέχνην αὐτοῦ. τὸ “οἴμοι” καὶ “ὤμοι” ποτὲ μὲν ἐπ’ εὐφροσύνης κείμενον εὕρηται Tr 1 [ οὗτος τίθησι Tr 2 ] , ποτὲ δὲ ἐπὶ λύπης. [5]

sch th-tr nub 773c καὶ ἐπ’ εὐφροσύνης μέν, ὡς κἀνταῦθα Tr 1 [ ἐνταῦθα Tr 2 ] “ οἴ μ ’ ὡς ἥδομα ι ” καὶ “ ὤμοι σοφία ς , ἧς ἐμνήσθη ς” . ἐπὶ δὲ λύπης ὡς τὸ “ οἴμοι τάλα ς ” καὶ “ οἴμοι κακοδαίμω ν , ὡς ἀπόλωλα δείλαιο ς ” Tr 1 καὶ “ ὤμοι μανίας τῆς σῆς πόλεώς τ ε” . διαγέγραπται] ἀπήλειπται, ἠφάνισται. [5]

sch th-tr nub 776a ἀποτρέψῃς Th 2 Tr 1 [ ἀποτρέψαις Tr 2 ] ] ἀποδιώξῃς. Th 2 Tr 1 [ ἀποδιώξαις. Tr 2 ] ἀντιδικῶν] ἀντεγκαλῶν, ἀντιλέγων.

sch th-tr nub 777a ὀφλήσειν] δοῦναι ταύτην. μαρτύρων] οἵ σοι συμμαρτυρήσουσι Th 2 Tr 1 [ μαρτυρήσουσι Tr 2 ] καὶ μάτην ἐγκαλεῖσθαι ἀποδείξουσιν.

sch th-tr nub 779 εἰ πρόσθεν] οὕτως ἀποτρεψαίμην. Th 2 Tr 1 [ ἀποτρέψαιμι. Tr 2 ] καλεῖσθ'] εἰσάγεσθαι εἰς τὸ μέσον καὶ ἐξετάζεσθαι.

sch th-tr nub 780b ἀπαγξαίμην] πνιγείην. εἰσάξει] εἰς Th 1 Tr 1/2 [ πρὸς Th 2 ] τὸ δικαστήριον.

sch th-tr nub 783a ὑθλεῖς] φλυαρεῖς. ἄπερρ'] ἄπελθε.

sch th-tr nub 785 ἐπιλήθει] ἐπιλήθῃ. ἐδιδάχθης] ἐδιδάσκου.

sch th-tr nub 789 ἀποφθερεῖ] ἀποφθερῇ. ἀπὸ γὰρ ὀλοῦμαι] ὑπὸ τῶν δανειστῶν.

sch th-tr nub 792b γλωττοστροφεῖν] στρέφειν τὴν γλῶτταν, δι' ἧς ἂν τοὺς δανειστὰς ἀποκρούσωμαι. τί ἐγὼ πάθω] ἐνταῦθα τὸ " ἀλλ ά" .

sch th-tr nub 799a ἐπιτρέπεις] ἐνδίδως. εὐσωματεῖ γὰρ] ναὶ ἄκων ἐπιτρέπω.

sch th-tr nub 800a εὐπτέρων] εὐγενῶν. Κοισύρας] ἐκ ταύτης γὰρ ἡ τούτου γυνὴ κατήγετο.

sch th-tr nub 801 μέτειμί] μετέλθω, μεταχειρήσομαι Th 1/2 [ μεταχειρίσομαι Tr 1/2 ] , εἰ πως δυνηθῶ πεῖσαι. τελευταῖος τῶν ἰάμβων.

sch th-tr nub 803bis . ἆρά γ' αἰσθάνει : κομμάτιον καὶ εἴσθεσις [δι]πλ[ῆς] κώλων θ', ὧν πρῶτον " [ ἆρά γ ' α ἰ ]σθάνει πλεῖστ α " ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐκ διτροχαίου καὶ παλιμβακχείου, καὶ ἔστιν [ἑφ]θημιμερὲς φερεκράτειον· τὸ β' " δ ι ' ἡμᾶς ἀγά θ ' αὐτί χ ' ἔξω ν " δίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου, διϊάμβου καὶ συλλαβῆς· τὸ γ' " μόνας θεῶν ὡς ἕτοιμος ὅ δ ' ἐστὶ ν " τρίμετρος καταληκτικὸς χοριαμβικὸς ἐκ διϊάμβου ––, διτροχαίου –– καὶ βακχείου ––· τὸ δ' " ἅπαντα δρᾶν ὅ ς ' ἂν κελεύῃ ς " δίμετρον ὑπερκατάληκτον ἐκ διϊάμβων –– δύο καὶ μιᾶς συλλαβῆς. [5]

sch th-tr nub 804a τὸ ε' " σὺ δ ' ἀνδρὸς ἐκπεπληγμένο υ " δίμετρον ἀκατάληκτον ἐκ διιάμβων δύο· τὸ ϛ' " καὶ φανερῶς ἐπηρμένο υ " χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου καὶ διιάμβου· τὸ ζ' " γνοὺς ἀπολάψεις ὅ τ ι " χοριαμβικὸν δίμετρον καταληκτικὸν ἤγουν ἑφθημιμερὲς ἐκ χοριάμβου καὶ δακτύλου· τὸ η' " πλεῖστον δύνασαι ταχέω ς " δίμετρον ἀκατάληκτον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου· τὸ θ' " φιλεῖ γάρ πως τὰ τοιαῦ θ ' ἑτέρως τρέπεσθα ι " τρίμετρος ὑπερκατάληκτος ἀντισπαστικὸς ἐξ ἐπιτρίτου α', ἀντισπάστου, διιάμβου καὶ συλλαβῆς. ἆρά γ ' αἰσθάνει πλεῖστα : κορωνὶς καὶ εἴσθεσις χοροῦ μεσῳδικὴ κώλων διαφόρων ι' ἐπιμεμιγμένων διιάμβοις, διτροχαίοις, ἀντισπάστοις, ἀμφιβράχεσι καὶ βακχείοις, ὧν τὸ α' ἀντισπαστικὸν δίμετρον καταληκτικόν, ὃ καλεῖται φερεκράτειον· τὸ β' ὅμοιον· τὸ γ' δίμετρον βραχυκατάληκτον· τὸ δ' ὅμοιον τῷ α'· τὸ ε' τροχαϊκὸν δίμετρον ἀκατάληκτον· τὸ ϛ' ἰαμβικὸν δίμετρον ὅμοιον ἀκατάληκτον· τὸ ζ' χοριαμβικὸν δίμετρον· τὸ η' ὅμοιον τρίμετρον ἀκατάληκτον· τὸ θ' ὅμοιον τῷ ϛ'· τὸ ι' " αὖ θ ' ἑτέρως τρέπεσθα ι " χοριαμβικὸν δίμετρον καταληκτικόν. [5]

sch th-tr nub 804b ἐπὶ τῷ τέλει κορωνίς. στροφὴ κώλων ι'.

sch th-tr nub 804d αἰσθάνει] αἰσθάνῃ. ※ Vat Lv (post v.

sch th-tr nub 804 805, sc. primi versus alt. colon, Vat). ἐκπεπληγμένου] ἐξεστηκότος καὶ ἄγαν προθυμουμένου.

sch th-tr nub 810 ἐπηρμένου] μετεώρου καὶ ἑτοίμου πᾶν ποιήσειν, ὃ ἂν κελεύσῃς. Th 1 Tr 1/2 [ κελεύῃς. Th 2 ] οἱ λέγοντες τὸ " γνοῦ ς " ἀντὶ τοῦ "αἴσθησιν λαβών", ἵνα τὴν γενικὴν συντάξωσι(ν), ληροῦσιν.

sch th-tr nub 811a

Th 1/2 [ ἀμαθεῖς. Tr 1/2 ] ἔστι δὲ αὕτη ἡ γενικὴ πρὸς τὸ “ ἀπολάψει ς” , οὕτω· σὺ δὲ ἀπολάψεις καὶ ἀποκέρδισον Th 1 Tr 1 [ ἀποκέρδησον Th 2 Tr 2 ] ταχέως, ὅ τι πλεῖστον δύνασαι, ἀνδρὸς ἐκπεπληγμένου καὶ φανερῶς ἐπηρμένου. εἶτα ὕστερον ἐπαγάγῃς τὸ “ γνοὺ ς” , ἀντὶ τοῦ “οὕτως ἔχοντα αὐτὸν νοήσας”. ἔστι δὲ τὸ “ ἀπολάψει ς ” ἐνταῦθα ἀντὶ προστακτικοῦ· δείκνυται γὰρ ἐκ τῆς κατασκευῆς, ὅτι τοῦτο αἱ Νεφέλαι αὐτῷ ἐπιτάττουσιν. ἀπολάψεις] ἀποκέρδισον Th 1 Tr 1 [ ἀποκέρδησον Th 2 Tr 2 ] , κατάφαγε δίκην κυνός.

sch th-tr nub 811b Tr 2 γνωμικόν.

sch th-tr nub 812b τὰ τοιαῦθ’] ἤγουν Th 2 τὰ μετὰ μεγίστης ἐπιθυμίας πράγματα. οἱ γὰρ Tr 2 ἐξ ἐπιθυμίας ἀλόγου τισὶ συμβαλόντες εὐμετάβλητοί εἰσιν.

sch th-tr nub 813 praeter LhCant.2 εἴσθεσις διπλῆς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων οζʹ, ὧν τελευταῖος πρὸς πάντα τὰ δίκαι’ ἀντιλέγειν δυνήσεται.

sch th-tr nub 814b οὔτοι μὰ τὴν ‛Ομίχλην : κορωνὶς ἑτέρα ὁμοία, οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οεʹ, ὧν τελευταῖος πρὸς πάντα τὰ δίκαι’ ἀντιλέγειν δυνήσεται. ἐπὶ τῷ τέλει κορωνίς, καὶ ἑξῆς τὸ “ χορο ῦ” · ὤφειλε γὰρ κἀνταῦθα θεῖναι χορόν, ἄχρις ἂν οἱ λόγοι ἐξέλθωσιν. μὰ τὴν ’Ομίχλην] μιμεῖται καὶ οὗτος τοὺς φιλοσόφους.

sch th-tr nub 814 ※ Vat Lv (ante vs.). κίονας p.

sch th-tr nub 815 i.m.] ἐν κίοσι γὰρ Th 1/2 Tr 1 [ δῆλον ἐντεῦθεν, ὅτι ἐν κίοσιν Tr 2 ] ὁ οἶκος αὐτοῦ ἵδρυτο. δείκνυσι δέ, ὅτι μόνοι οἱ οἶκοι ὑπελείφθησαν αὐτῷ τῶν ἄλλων καταναλωθέντων παρὰ τοῦ παιδὸς αὐτοῦ. Tr 1/2 μωρίας] βαβαί.

sch th-tr nub 819a νομίζειν] σέ. τηλικουτονί] ἤγουν τέλειον ἤδη Th 1/2 Tr 1 [ ὄντα Tr 2 ] τῷ νῷ· τοῦτο δὲ λέγει παροξύνων αὐτὸν πρὸς τὴν μάθησιν.

sch th-tr nub 821 ἀρχαϊκά] μωρά. πλείονα] τούτου.

sch th-tr nub 822 ἀνὴρ ἔσῃ Th 1/2 Tr 1 [ ἔσει Tr 1 ] ] τέλειος τὴν φρόνησιν. ὅπως] ὅρα , σκόπει.

sch th-tr nub 824a Th 1 [ πῶς. Th 2 ] τηρεῖ τὰς παραινέσεις, ἃς παρῄνεσεν αὐτῷ πρόσθεν ὁ μαθητής.

sch th-tr nub 826 ὡς] πῶς, ὅτι. ἐξεληλακώς] ἐκβαλὼν Tr 2 τῆς ἀρχῆς.

sch th-tr nub 829 οὕτως ἔχον] ὡς ἐγώ φημι. πῶς ὄντα τὸν Σωκράτη Th 1 Tr 1 [ Σωκράτην Th 2 Tr 2 ] Ἀθηναῖον Μήλιον αὐτὸν Th 1 νυνὶ λέγει; καί φαμεν, ὡς, ἐπειδὴ διεβάλλετο ὁ Th 1/2 Tr 1 Σωκράτης εἰς ἀθεΐαν, ὅτι τοὺς ὄντας θεοὺς ἀφεὶς καινὰ ἐνομοθέτει δαιμόνια, θέλων ἄθεον αὐτὸν Th 1/2 Tr 1 [ αὐτὸν ἄθεον Tr 2 ] νῦν εἰπεῖν Μήλιον ἔφη, παρόσον οἱ Μήλιοι διεβάλλοντο ὡς ἄθεοι ἀπὸ Διαγόρου, ὃς παρακαταθέμενός τινι χρήματα καὶ τούτων ἀποστερηθεὶς ὑπὸ τῆς Th 1/2 Tr 1 λύπης ἐξεμάνη πρὸς ἀθεότητα.

sch th-tr nub 830 ἄλλοι δέ φασιν, ὡς καὶ Th 1/2 Tr 1 οὗτος ὁ Διαγόρας διδάσκαλος ἦν τοῦ Σωκράτους, ἢ λέγει τοῦτον μήλιον παίζων ὡς οἷα δασύτριχον, παρόσον τὰ μῆλα ἤτοι τὰ πρόβατά εἰσιν. Th 1 ὃς ἐν πανδοχείῳ εὑρεθείς ποτε καὶ ξύλα μὴ εὑρὼν ἄγαλμα ‛Ηρακλέους καθελὼν καὶ εἰς πῦρ ἐμβαλών· “ἄγε, ὦ ‛Ήρακλες”, ἔφη, “τρισκαιδέκατον ἡμῖν ἐπιτέλεσον Tr 1/2 ἆθλον καὶ ἕψησον τὸν φακόν” Tr 2 .

sch th-tr nub 833a πείθειν] πείθῃ. Th 2 [ πείθει] πείθειν Tr 1 πείθει] πείθῃ. Tr 2 ] πείθει(ν)] αὐτοὺς σέ.

sch th-tr nub 833c οὐκ ἔστι τὸ “ πείθει ν ” ἀντὶ τοῦ πείθεσθαι, ὥς τινές φασιν, ἵνα τὴν δοτικὴν συντάξωσιν· ἀλλ’ ἔστιν ἡ τοιαύτη δοτικὴ πρὸς τὸ “ ἐλήλυθα ς” , οὕτω· σὺ δὲ εἰς τοσοῦτον τῶν μανιῶν ἐλήλυθας ἀνδράσι χολῶσιν, ὥστε πείθειν αὐτοὺς σέ, τουτέστιν· οὕτω τῆς αὐτῶν μανίας μετέσχες, ὥστε καὶ πείθειν σε περὶ τῶν ματαίων. χολῶσιν] μαινομένοις.

sch th-tr nub 834 φλαῦρον] εὐτελές, ἄτιμον , μωρόν. Th 1 ὧν .

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch th-tr nub 835 .. φειδωλίας] ἅπερ ποιοῦσιν ἐκεῖνοι Tr 1 [ ἐκεῖνοι ποιοῦσι Tr 2 ] κατ’ ἀρετήν, φειδωλίαν οὗτος καλεῖ. ἀπεκείρατ’] καὶ Tr 1 ἀπέτεμε Th 1 Tr 1/2 τὴν κόμην καὶ τὸν πώγωνα.

sch th-tr nub 836a Th 1/2 Tr 1 α [ τὸ γένειον. β ] ἠλείψατο] ἔλαιον.

sch th-tr nub 838a τὸ “ καταλούε ι ” φησὶν ἐκ μεταφορᾶς τῶν ὑδάτων, ὧν καταχέουσιν ἄνθρωποι ἐν τοῖς βαλανείοις· ἢ ὅτι Tr 2 ἔθος ἦν μετὰ τὴν ἐκκομιδὴν τοῦ νεκροῦ λούεσθαι τοὺς κατ’ οἶκον καθαρμοῦ χάριν. Tr 1/2 καταλούει] καταλούῃ.

sch th-tr nub 838c καταλούει(ῃ) ... βίον] δαπανᾷς· ἀφανίζεις · ἐκ τῶν χυνομένων ὑδάτων ἐν τοῖς βαλανείοις Tr 1. τις] ἀνήρ.

sch th-tr nub 841a ἄληθες] εἰρωνικόν. ὅσαπέρ ἐστιν Th 1 ὅσαπερ ἔστ’ Tr 1/2 [ ὅσα πάρεστ’ Th 2 ] ἐν Th 1 Tr 1/2 .

sch th-tr nub 841b .. σοφά] μαθήσῃ παρ’ αὐτῶν. γνώσει] γνώσῃ.

sch th-tr nub 842b παχύς] τὸν νοῦν. παρανοίας] παραφροσύνης.

sch th-tr nub 845b εἰσαγαγὼν] εἰς τὸ Th 2 δικαστήριον. ἑλῶ] λάβω· ἤγουν κατηγορήσω αὐτοῦ ὡς παραφρονοῦντος.

sch th-tr nub 846 τοῖς σοροπηγοῖς] τοῖς νεκροθάπταις· θανάτου γὰρ ἄξια πράττει. ταὐτό Th 1 Tr 1/2 [ ταὐτόν Th 2 ] ] καλεῖς.

sch th-tr nub 850a τολοιπὸν] οὕτω κάλει. καλεῖν] θέλε.

sch th-tr nub 853 γηγενεῖς τούτους καλεῖ, ὡς ὑπὸ γῆν διατρίβοντας, ὥσπερ μύασ · ἢ ὡς ἀσεβεῖς καὶ θεομάχους· τοιοῦτοι γὰρ καὶ οἱ γίγαντες Tr 1/2. καταπεφρόντικα] ἤγουν Th 1 Tr 1/2 τοῖς φροντισταῖς ἀφῆκα.

sch th-tr nub 858 τέτροφας] κατέφαγες. ὁ Περικλῆς στρατηγὸς Ἀθηναίων ὢν καὶ τῶν δημοσίων πραγμάτων ἐπιμελητὴς εἰς ἐξέτασιν κατέστη τῆς διοικήσεως.

sch th-tr nub 859 ἐν οὖν τῷ τῶν χρημάτων λογισμῷ οὐκ ὀλίγα λέλοιπε τάλαντα· καὶ ἐρωτώμενος περὶ τούτων ἔφη εἰς τὸ δέον ἀνηλωκέναι, ἤγουν ὅπου ἂν ἡ χρεία ἀπῄτει, λέγω δὴ περί τε πρέσβεις καὶ τὰ λυσιτελοῦντα τῇ πόλει. ἐπεκράτησε δὲ ὁ λόγος αὐτοῦ Th 1 εἰς παροιμίαν. ἐξάμαρτε] εἰ καὶ τοῦτο Th 1 [ τούτου Th 2 Tr 1/2 ] δεῖ. [5]

sch th-tr nub 861b κἀγώ p.i.m.] τὸ “ κἀγ ώ ” εἰς τὸ “ πειθόμενο ς ” σύναπτε· τὸ δὲ “ οἶδ α ” μόνον διὰ μέσου. ἑξέτει] ἐτῶν ἓξ Th 1/2 Tr 1 [ ἓξ ἐτῶν Tr 2 ] ὄντι.

sch th-tr nub 862b τραυλίσαντι] παρακεκομμένα Th 1 [ παρακεκομμένως Th 2 Tr 1/2 ] εἰπόντι. τραυλός ἐστιν ὁ τὸ ῥῶ αὔων καὶ λέγων λῶ· ἐξ οὗ καὶ τραυλίζω ῥῆμα.

sch th-tr nub 863a ἡλιαστικόν] ἐκ τῆς Ἡλιαίας τοῦ δικαστηρίου. Th 1/2 Tr 1 [ τοῦ δικαστηρίου τῆς Ἡλιαίας. Tr 2 ] Ἡλιαία τὸ δικαστήριον τοῦτο ὠνόμασται διὰ τὸ ὑπαίθριον εἶναι καὶ τῷ ἡλίῳ βάλλεσθαι.

sch th-tr nub 864a Διασίοις] ἐν τῇ ἑορτῇ τοῦ Διός. Διασίοις] ἑορτὴ τοῦ Διὸς ἦν οὕτως ὀνομαζομένη Διάσια.

sch th-tr nub 865a τούτοις] εἰς ἃ ἀναγκάζεις με ἐλθεῖν Tr 2. ἀχθέσει] ἀχθέσῃ.

sch th-tr nub 865c ἀχθέσει(ῃ)] λυπηθήσῃ. νηπύτιος] ἄφρων.

sch th-tr nub 869 τρίβων] ἐντριβής. τρίβων] ἐπιτετριμμένος καὶ ἠφανισμένος.

sch th-tr nub 870b εἰ] ἐπειδή. ἐς κόρακας] ἀπέλθῃς.

sch th-tr nub 872a ὡς] ὄντως. ἠλίθιον] μωρόν.

sch th-tr nub 873 διερρυηκόσιν] διακεχηνόσιν. κλῆσιν] μαρτυρίαν.

sch th-tr nub 875b “ χαύνωσιν ἀναπειστηρία ν ” λέγει, ὅταν τοῦ ἀντιδίκου προβαλόντος λόγους πιθανοὺς εἰς τοὐναντίον τις αὐτοὺς περιτρέψῃ καὶ χαύνους καὶ ἀσθενεῖς ποιήσῃ, διὰ τῶν λόγων αὐτοῦ ἀναπείσας τοὺς δικαστάς, ὡς ἄρ’ ἀληθῆ λέγει. Ὑπέρβολος] κωμῳδεῖ τοῦτον ὡς δικορράφον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch th-tr nub 877a ἀμέλει] ἀφροντίσταινε. θυμόσοφός] ἐκ φύσεως σοφός.

sch th-tr nub 878a γέ] γάρ. τυννουτονί] δεικτικῶς ἀντὶ τοῦ “τοσοῦτον, βραχύτατον”.

sch th-tr nub 879 ἔνδον οἰκίας] τοῦ οἴκου τοῦ ἡμετέρου. Th 1/2 Tr 1 [ ἡμετέρου οἴκου. Tr 2 ] σκυτίνας] δερματίνας.

sch th-tr nub 881 τῶν σιδίων] τῶν τῆς ῥοιᾶς φλοιῶν. ὅπως] ὅρα , σκόπει Th 1 Tr 1/2.

sch th-tr nub 885a μή] οἷόν τε μαθεῖν ἄμφω. γοῦν] κἄν.

sch th-tr nub 886 μαθήσεται] γνώσεται, ὅντινα δεῖ μαθεῖν. γοῦν] δ’ οὖν.

sch th-tr nub 887b ὅπως] πῶς. τελευταῖος τῶν ἰάμβων.

sch th-tr nub 888bis praeter LhCant.2. χοροῦ (inter hos versus scriptum).

sch th-tr nub 889a χώρει δευρί : κἀνταῦθα τόπος ἐστὶ χοροῦ· παρελείφθη δὲ κατὰ τὴν τῆς νέας κωμῳδίας συνήθειαν. ἐξετέθη δὲ ἡ διπλῆ κώλων οὖσα ἀναπαιστικῶν μονομέτρων, διμέτρων καὶ τριμέτρων οβʹ, ὧν τὸ πρῶτον “ χώρει δευρ ί , δεῖξον σαυτὸ ν ” ἀναπαιστικὸν δίμετρον ἐκ δʹ σπονδείων· τὸ βʹ “ τοῖσιν θεαταῖς καίπερ θρασὺς ὢ ν ” ὅμοιον δίμετρον ἐκ σπονδείου, ἀναπαίστου καὶ σπονδείου καὶ ἀναπαίστου· τὸ γʹ “ ἴ θ ’ ὅποι χρῄζεις · πολὺ γὰρ μᾶλλο ν ” ὅμοιον δίμετρον ἀντιστρόφως τῷ βʹ ἐξ ἀναπαίστου, σπονδείου, ἀναπαίστου καὶ σπονδείου· τὸ δʹ “ς ’ ἐν τοῖς πολλοῖσι λέγων ἀπολ ῶ ” δίμετρον ἐκ δύο σπονδείων καὶ δύο ἀναπαίστων· τὸ εʹ “ ἀπολεῖς σὺ τίς ὢ ν”; μονόμετρον ἐκ δύο ἀναπαίστων· τὸ ϛʹ “ λόγο ς . ἥττων γ ’ ὢ ν ” μονόμετρον ἐξ ἀναπαίστου καὶ σπονδείου· τὸ ζʹ “ ἀλλά σε νικ ῶ ” μονόμετρον ἐκ δακτύλου καὶ σπονδείου· τὸ ηʹ “ τὸν ἐμοῦ κρείττω φάσκον τ ’ εἶνα ι ” δίμετρον ἐξ ἀναπαίστου καὶ τριῶν σπονδείων· τὸ θʹ “ τί σοφὸν ποιῶ ν ” μονόμετρον ἐξ ἀναπαίστου καὶ σπονδείου· τὸ ιʹ “ γνώμας καινὰς ἐφευρίσκω ν ” δίμετρον ἐκ δʹ σπονδείων· τὸ ιαʹ “ ταῦτα γὰρ ἀνθε ῖ ” μονόμετρον ἐξ ἀναπαίστου καὶ σπονδείου· τὸ ιβʹ “ διὰ τουτουσὶ τοὺς ἀνοήτου ς ” δίμετρον ἐξ ἀναπαίστου, σπονδείου, ἀναπαίστου καὶ σπονδείου· τὸ ιγʹ “ οὔ κ , ἀλλὰ σοφού ς ” μονόμετρον ἐκ σπονδείου καὶ ἀναπαίστου· τὸ ιδʹ “ ἀπολῶ σε κακῶ ς ” μονόμετρον ἐκ δύο ἀναπαίστων· τὸ ιεʹ “ εἰπ έ , τί ποιῶ ν ” μονόμετρον ἐξ ἀναπαίστου καὶ σπονδείου· τὸ ιϛʹ “ τὰ δίκαια λέγω ν ” μονόμετρον ἐκ δύο ἀναπαίστων· τὸ ιζʹ “ ἀλ λ ’ ἀνατρέψω ταῦ τ ’ ἀντιλέγω ν ” δίμετρον ἐξ ἀναπαίστου, δύο σπονδείων καὶ ἀναπαίστου· τὸ ιηʹ “ οὐδὲ γὰρ εἶναι πάνυ φημὶ δίκη ν ” δίμετρον ἐξ ἀναπαίστου, σπονδείου καὶ δύο ἀναπαίστων· τὸ ιθʹ “ οὐκ εἶναι φή ς”; μονόμετρον ἐκ δύο σπονδείων· τὸ κʹ “ φέρε γά ρ , ποῦ ’στι ν ” μονόμετρον ἐξ ἀναπαίστου καὶ σπονδείου· τὸ καʹ “ παρὰ τοῖσι θεοῖ ς ” μονόμετρον ἐκ βʹ ἀναπαίστων· τὸ κβʹ “ πῶς δῆτα δίκης οὔσης ὁ Ζεὺ ς ” δίμετρον ἐκ σπονδείου, ἀναπαίστου καὶ δύο σπονδείων· τὸ κγʹ “ οὐκ ἀπόλωλεν τὸν πατέ ρ ’ αὑτοῦ δήσα ς ” τρίμετρον καταληκτικὸν ἐξ ἀναπαίστου, σπονδείου, ἀναπαίστου καὶ βʹ σπονδείων· τὸ κδʹ “ αἰβο ῖ , τουτὶ καὶ δὴ χωρεῖ τὸ κακό ν ” τρίμετρον ὅμοιον ἐκ δʹ σπονδείων καὶ ἀναπαίστου· τὸ κεʹ “ δότε μοι λεκάνη ν ” μονόμετρον ἐκ βʹ ἀναπαίστων· τὸ κϛʹ “ τυφογέρων εἶ κἀνάρμοστο ς ” δίμετρον ἐκ δακτύλου, σπονδείου, ἰάμβου καὶ σπονδείου· τὸ κζʹ “ καταπύγων εἶ κἀναίσχυντο ς ” δίμετρον ἐξ ἀναπαίστου, σπονδείου, ἰάμβου καὶ σπονδείου· τὸ κηʹ “ ῥόδα μ ’ εἴρηκα ς ” μονόμετρον ἐξ ἀναπαίστου καὶ σπονδείου· τὸ κθʹ “ καὶ βωμολόχο ς ” μονόμετρον ἐκ σπονδείου καὶ ἀναπαίστου· τὸ λʹ “ κρίνεσι στεφανοῖ ς ” μονόμετρον ἐκ δύο ἀναπαίστων· τὸ λαʹ “ καὶ πατραλοία ς ” μονόμετρον ἐκ δακτύλου καὶ σπονδείου· τὸ λβʹ “ χρυσῷ πάττων μ ’ οὐ γινώσκει ς ” δίμετρον ἐκ δʹ σπονδείων· τὸ λγʹ “ οὐ δῆτα πρὸ τοῦ γ’ , ἀλλὰ μολίβδ ῳ ” δίμετρον ἐκ σπονδείου, ἀναπαίστου, δακτύλου καὶ σπονδείου· τὸ λδʹ “ νῦν δέ γε κόσμος τοῦ τ ’ ἔσ τ ’ ἐμο ί ” δίμετρον ἐξ ἀναπαίστου, βʹ σπονδείων καὶ ἰάμβου· τὸ λεʹ “ θρασὺς εἶ πολλο ῦ ” μονόμετρον ἐξ ἀναπαίστου καὶ σπονδείου· τὸ λϛʹ “ σὺ δέ γ ’ ἀρχαῖο ς ” μονόμετρον ὅμοιον· τὸ λζʹ “ διὰ σὲ δὴ φοιτᾶ ν ” δίμετρον καταληκτικὸν ἐκ παίωνος δʹ – καὶ σπονδείου· τὸ ληʹ “ οὐδεὶς ἐθέλει τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μειρακίω ν ” δίμετρον ἐκ σπονδείου, ἀναπαίστου καὶ αὖθις αὐτῶν· τὸ λθʹ “ γνωσθήσει πό τ ’ Ἀθηναίοι ς ” δίμετρον καταληκτικὸν ἐκ σπονδείου, δακτύλου, σπονδείου καὶ συλλαβῆς· τὸ μʹ “ οἷα διδάσκεις τοὺς ἀνοήτου ς ” δίμετρον ἐκ δακτύλου, σπονδείου καὶ αὖθις αὐτῶν· τὸ μαʹ “ αὐχμεῖς αἰσχρῶ ς ” μονόμετρον ἐκ δύο σπονδείων· τὸ μβʹ “ σὺ δέ γ ’ εὖ πράττει ς ” μονόμετρον ἐξ ἀναπαίστου καὶ σπονδείου· τὸ μγʹ “ καίτοι πρότερόν γ ’ ἐπτώχευε ς ” δίμετρον· τὸ μδʹ “ Τήλεφος εἶναι Μυσὸς φάσκω ν ” δίμετρον· τὸ μεʹ “ ἐκ πηριδίο υ ” μονόμετρον· τὸ μϛʹ “ γνώμας τρώγων Πανδελετίου ς ” δίμετρον· τὸ μζʹ “ ὤμοι σοφία ς , ἧς ἐμνήσθη ς ” δίμετρον· τὸ μηʹ “ ὤμοι μανίας τῆς σῆς πόλεω ς ” δίμετρον· τὸ μθʹ “θ ’ ἥτις σε τρέφε ι ” μονόμετρον· τὸ νʹ “ λυμαινόμενον τοῖς μειρακίοι ς ” δίμετρον· τὸ ναʹ “ οὐχὶ διδάξεις τοῦτον Κρόνος ὤ ν ” δίμετρον· τὸ νβʹ “ εἴπερ γ ’ αὐτὸν σωθῆναι χρ ὴ ” δίμετρον· τὸ νγʹ “ καὶ μὴ λαλιὰν μόνον ἀσκῆσα ι ” δίμετρον· τὸ νδʹ “ δεῦ ρ ’ ἴθ ι , τοῦτον δ ’ ἔα μαίνεσθα ι ” δίμετρον· τὸ νεʹ “ κλ [ αύσε ι] , τὴν χεῖ ρ ’ ἢν ἐπιβάλῃ ς ” καὶ τὸ νϛʹ “ παύσασθε μάχης καὶ λοιδορία ς ” δίμετρα· τὸ νζʹ “ ἀλ λ ’ ἐπίδειξο ν ” μονόμετρον· τὸ νηʹ “ σύ τε τοὺς προτέρους ἅ [ τ τ’ ] ἐδίδασκε ς ” δίμετρον· τὸ νθʹ “ σύ τε τὴν καινὴ ν ” μονόμετρον· τὸ ξʹ “ παίδευσι ν , ὅπως ἂν ἀκούσας σφῶι ν ” δίμετρον· τὸ ξαʹ “ ἀντιλεγόντοιν κρίνας φοιτ ᾷ ” δίμετρον· τὸ ξβʹ “ δρᾶν ταῦ τ ’ ἐθέλ ω ” μονόμετρον· τὸ ξγʹ “ κἄγω γ ’ ἐθέλ ω ” ὅμοιον· τὸ ξδʹ “ φέρε δὴ τίς λέξει πρότερος ὑμῶ ν ” δίμετρον· τὸ ξεʹ “ τούτῳ δώσ ω ” μονόμετρον· τὸ ξϛʹ “ κᾀ τ ’ ἐκ τούτων ὧν ἂν λέξ ῃ ” δίμετρον· τὸ ξζʹ “ ῥηματίοισιν καινοῖς αὐτὸ ν ” δίμετρον· τὸ ξηʹ “ καὶ διανοίαις κατ [ ατο ξ ]εύσ ω ” δίμετρον· τὸ ξθʹ “ τὸ τελευταῖον δ ’ ἢν ἀναγρύξ ῃ ” δίμετρον· τὸ οʹ “ τὸ πρόσωπον ἅπαν καὶ [ τὼ φ ]θαλμ ὼ ” δίμετρον· τὸ οαʹ “ κεντούμενος ὥσπερ ὑ π ’ ἀνθρήνω ν ” δίμετρον· τὸ οβʹ “ ὑπὸ τῶν [ γν ω ]μῶν ἀπολεῖτα ι ” δίμετρον καταληκτικόν.

sch th-tr nub 889b ἀναπαιστικὰ κῶλα οβʹ δίμετρα καὶ μονόμετρα καὶ τρίμετρα, ὧν τελευταῖος ὑπὸ τῶν γνωμῶν ἀπολεῖται. χώρει δευρί : εἴσθεσις διπλῆς κατὰ σχῆμα δικανικὸν ἐκ κώλων ἀναπαιστικῶν μεʹ, ὧν τὸ κηʹ, τὸ λεʹ καὶ τὸ λθʹ μονόμετρα ἀκατάληκτα.

sch th-tr nub 889c τὰ δὲ λοιπὰ πάντα δίμετρα ἀκατάληκτα τῶν δύο προσώπων ὡς ἐπιτοπλεῖστον δίμετρον κῶλον ἀποτελούντων, ὧν τὸ τελευταῖον κλαύσει· τὴν χεῖρ’ ἐπιβάλλεις, ἑφθημιμερές. ἰστέον δέ, ὅτι τὸ κηʹ κῶλον τετράβραχυν ἔχει, ἤτοι προκελευσματικὸν τὸν αʹ πόδα ἀντὶ ἀναπαίστου. διαλύεται γὰρ ἡ μακρὰ τοῦ ἀναπαίστου εἰς δύο βραχείας, ὡς καὶ τοῦ ἰάμβου καὶ τοῦ τροχαίου καὶ τῶν λοιπῶν τετρασυλλάβων ποδῶν. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. ὑπόκεινται ἐπὶ τῆς σκηνῆς ἐν πλεκτοῖς οἰκίσκοις οἱ λόγοι δίκην ὀρνίθων διαμαχόμενοι.

sch th-tr nub 889d τοῦ δὲ χοροῦ τὸ πρόσωπον ἐκλέλοιπεν· ἐπιγραφὴ δὲ φέρεται χοροῦ. διαλέγονται δὲ οἱ λόγοι ὅ τε κρείττων καὶ ὁ ἥττων. ⁜ praeter LhCant.

sch th-tr nub 889 2 (post χοροῦ β). τοῦτο ἐκ Τηλέφου ἐστὶν Εὐριπίδου· ἴθ’ ὅποι χρῄζεις· οὐκ ἀπολοῦμαι τῆς σῆς Ἑλένης οὕνεκα.

sch th-tr nub 893 ἥττων] ἐμοῦ. ποιῶν] νικᾷς.

sch th-tr nub 896 καινὰς] ἀτόπους. διαβάλλει ἐνταῦθα Tr 2 τοὺς Ἀθηναίους ὡς ἀδικίᾳ χαίροντας, τὸ δὲ δίκαιον παρορῶντας.

sch th-tr nub 902 δίκην] δικαι[ό]τ[η]τ[α]. φέρε] ναί.

sch th-tr nub 905a τρίμετροι βραχυκατάληκτοι βʹ. καταγαγὼν ὁ Ζεὺς τὸν πατέρα αὐτοῦ Κρόνον τῆς βασιλείας καὶ δήσας ἐς Ταρτάρου καθεῖκεν.

sch th-tr nub 905c ἀπόλωλε Th 1 [ ἀπόλωλεν Tr 1/2 ] ] ἐφθάρη. πατέρ’] τὸν Tr 1 Κρόνον.

sch th-tr nub 906 αἰβοῖ] φεῦ. χωρεῖ] αὔξει.

sch th-tr nub 907b

λεκάνην] ἵν’ Th 1/2 Tr 1 [ ἵνα Tr 2 ] ἐμέσω δηλονότι· βλασφημεῖ γάρ Tr 2 . τυφογέρων] μάταιος γέρων Th 1/2 Tr 1 .

sch th-tr nub 908b κἀνάρμοστος] ἀηδής. ⋇ Lv solus.

sch th-tr nub 909 καταπύγων] πόρνος. βωμολόχος] ἀσεβής, φλύαρος.

sch th-tr nub 910b οἱ ἐν τοῖς βωμοῖς ἐνεδρεύοντες καὶ τὰς θυομένας θυσίας ἁρπάζοντές τε καὶ κατεσθίοντες βωμολόχοι ἐκαλοῦντο. λέγεται δὲ ἡ λέξις κυρίως ἐπὶ τῶν ἀσεβῶν, καταχρηστικῶς δὲ καὶ ἐπὶ πάντων τῶν Th 1/2 κακῶν. ἄλλοι δέ φασι τὴν βωμολοχίαν ἀντὶ τοῦ φλυαρίαν καὶ πολυλογίαν, παρόσον ἐν τοῖς βωμοῖς ἐρχόμενοί τινες ἀντὶ τοῦ τὸ θεῖον ἐξιλεοῦν εὐχαῖς πολλοῖς τισι λόγοις καὶ ματαίοις ἐχρῶντο. οὐ μόνον τὸ κρίνον, τοῦ κρίνου, ἀλλὰ καὶ κρί, κρινός ἄχρηστον εὕρηται.

sch th-tr nub 911b ἀντὶ τοῦ εἰπεῖν “κρίνοις” “κρίνεσιν” εἶπε κατὰ μεταπλασμόν, παίζων. τοῦτ’ ἔστ’ Th 1 Tr 1 [ ἐστὶν Th 2 Tr 2 ] ἐμοί] τὸ τὰ τοιαῦτα καλεῖσθαι.

sch th-tr nub 915a πολλοῦ] ἐκ πολλοῦ Tr 2 χρόνου. ἀρχαῖος] μωρός.

sch th-tr nub 916a μονόμετρον ὑπερκατάληκτον. φοιτᾶν] εἰς ἐμέ.

sch th-tr nub 918 γνωσθήσει] γνωσθήσῃ. αὐχμεῖς] πτωχεύεις.

sch th-tr nub 920b αἰσχρῶς] κακῶς. ὁ Τήλεφος οὗτος βασιλεὺς ἦν Μυσίας, ὃν πλανηθέντων Ἑλλήνων, ὅτε εἰς Τροίαν ἀπήρχοντο, καὶ δῃούντων τὴν αὐτοῦ γῆν ἀντὶ τῆς Τροίας Ἀχιλλεὺς ἔτρωσε · καὶ μὴ εὑρίσκων θεραπείαν τοῦ τραύματος ἤκουσε παρὰ τοῦ Ἀπόλλωνος· ὁ τρώσας ἰάσεται.

sch th-tr nub 922 καὶ παραγενόμενος εἰς Θετταλίαν καὶ τὸν χρησμὸν γνωρίσας τῷ Ἀχιλλεῖ τὴν θεραπείαν εὗρε παρ’ αὐτοῦ Tr 2 . δυστυχήσαντα δὲ ὕστερον πεποίηκεν Εὐριπίδης ἐν δράματι πήραν ἔχοντα καὶ προσαιτοῦντα. ἀντὶ γοῦν τοῦ εἰπεῖν “ἄρτους τρώγων” “ πανδελετίους Th 1/2 Tr 1 [ “ πανδελετείους Tr 2 ] γνώμα ς ” εἶπε, διαβάλλων αὐτὸν κατ’ ἄμφω, καὶ ὡς ἄτιμον καὶ ὡς πανοῦργον. ἐπὶ γὰρ πανουργίᾳ διαβεβόητο ὁ Πανδέλετος. λυμαινόμενον τοῖς μειρακίοις] καὶ γὰρ πανοῦργα αὐτὰ καὶ ἀναίσχυντα ποιεῖς Th 1 [ ποιεῖς καὶ ἀναίσχυντα Th 2 Tr 1/2 ] καὶ τῆς ἄλλης κακίας μέτοχα.

sch th-tr nub 929 Κρόνος] ἄφρων καὶ παλαιός Tr 2 . εἴπερ] διδάξω.

sch th-tr nub 931 λαλιὰν] στωμυλίαν καὶ πανουργίαν. ἐπιβάλῃς Th 1 Tr 1 ἐπιβάλλῃς Th 2 [ ἐπιβάλλεις Tr 2 ] ] αὐτῷ.

sch th-tr nub 933b οὕτω χρὴ γράφειν τὸ παρὸν κῶλον· “ κλαύσει · τὴν χεῖ ρ ’ ἐπιβάλλει ς; ” ἵν’ εἴη ἑφθημιμερὲς ὡς ἀποθετικόν, καὶ στίζειν εἰς τὸ “ κλαύσε ι ” τὸ δὲ ἑξῆς ἀναγινώσκειν κατ’ ἐρώτησιν. οὕτω γὰρ καὶ τὸ “ ἐπιβάλλει ς ” διὰ δύο λλ γραφόμενον καλῶς ἔχει. > praeter M9.

sch th-tr nub 934 παύσασθε μάχης : ἔκθεσις τῆς διπλῆς συστηματικὴ εἰς δύο περιόδους διῃρημένη, ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν ιε′· ὧν τῆς πρώτης περιόδου κῶλα δίμετρα ἀκατάληκτα ε′· καὶ ἐν εἰσθέσει ἕτερα β′ ὅμοια δίμετρα ἀκατάληκτα. τῆς δὲ δευτέρας περιόδου κῶλα η′, ὧν τὸ πρῶτον μονόμετρον ἀκατάληκτον· τὰ ἑξῆς ϛ′ δίμετρα ἀκατάληκτα· τὸ δὲ τελευταῖον, τὸ “ ὑπὸ τῶν γνωμῶν ἀπολεῖτα ι” , ἑφθημιμερές, ὃ καλεῖται παροιμιακόν. ἐπὶ τῷ τέλει τοῦ πρώτου συστήματος παράγραφος· ἐπὶ δὲ τῷ τέλει τοῦ δευτέρου δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος. ἐπίδειξαι] ἐπίδειξον.

sch th-tr nub 935b σύ τε] ὦ δίκαιε. σύ τε] ὦ ἄδικε.

sch th-tr nub 936b τὴν καινὴν] τὴν νέαν. σφῶν] σφῶϊν.

sch th-tr nub 937b σφῶν Th 1 Tr 1 [ σφῶϊν Th 2 ] ] ὑμῶν. κρίνας] διακρίνας καὶ Tr 2 ἐκλεξάμενος.

sch th-tr nub 938bis Vat Vd soli. δώσω] πρότερον λέγειν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch th-tr nub 945 ἀναγρύξῃ] ποσῶς λαλήσῃ. ἀνθρήνων] μελισσῶν.

sch th-tr nub 947b ἀνθρῆνας ποιηταὶ μὲν τὰς μελίσσας φασίν, Ἀριστοτέλης δὲ ζῷα ἕτερα συγγενῆ ταῖς μελίσσαις, οἱ δὲ ὅμοιά φασιν εἶναι τοῖς σφηξίν. 〈948〉 praeter Lh.

sch th-tr nub 949a νῦν δείξετον : κομμάτιον πρὸ τῆς διπλῆς ἐν εἰσθέσει κώλων ι′ χοριαμβικῶν ––, ὧν α′ “ νῦν δείξετον τὼ πισύν ω ” δίμετρον χοριαμβικὸν ἐξ ἐπιτρίτου τρίτου καὶ χοριάμβου· τὸ β′ “ τοῖς περιδεξίοισι ν ” ὅμοιον δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ βακχείου ἑφθημιμερές· τὸ γ′ “ λόγοισι καὶ φροντίσι κα ὶ ” ὅμοιον δίμετρον ἀκατάληκτον ἐκ διιάμβου καὶ χοριάμβου· τὸ δ′ “ γνωμοτύποις μερίμναι ς ” ὅμοιον δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ βακχείου ἑφθημιμερές· τὸ ε′ “ ὁπότερος αὐτοῖν λέγω ν ” ὅμοιον δίμετρον καταληκτικὸν ἐκ χοριάμβου πεντασυλλάβου διαλελυμένης τ[ῆς πρώτης συλλαβῆς] καὶ κρητικοῦ, καὶ ἔστιν ἑφθημιμερές· τὸ ϛ′ “ ἀμείνων φανήσετα ι ” ὅμοιον δίμετρον καταληκτικὸν ἀντισπαστικὸν ἐξ ἀντισπάστου καὶ κρητικοῦ· τὸ ζ′ “ νῦν γὰρ ἅπας ἐνθάδε κίνδυνο ς ” ὅμοιος τρίμετρος βραχυκατάληκτος ἐκ β′ χοριάμβων καὶ σπονδείου· ἀδιάφορος γάρ ἐστιν ὁ τελευταῖος ποῦς εἰς πάντα· τὸ η′ “ ἀνεῖται σοφία ς ” δίμετρον ἀντισπαστικὸν βραχυκατάληκτον ἐξ ἀντισπάστου καὶ ἰάμβου· τὸ θ′ “ ἧς περὶ τοῖς ἐμοῖς φίλοι ς ” χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου καὶ διιάμβου· τὸ ι′ “ ἔστιν ἀγὼν μέγιστο ς ” ὅμοιον δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ βακχείου διὰ τὴν ἀδιάφορον ἑφθημιμερές. ἑξῆς δὲ ἐν ἐκθέσει στίχοι δύο ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ ὅμοιοι τοῖς ἑξῆς, ὧν ὁ α′ “ ἀλ λ ’ ὦ πολλοῖς τοὺς πρεσβυτέρους ἤθεσι χρη [ στοῖ ς ] στεφανώσα ς” · ὁ β′ “ ῥῆξον φωνὴν [ῇ] τινι χαίρεις καὶ τὴν σαυτοῦ φύσιν εἰπ έ” . νῦν δείξετον τὼ πισύνω : εἴσθεσις μέλους χοροῦ προῳδικὴ στροφῆς λόγον ἔχουσα—ἔχει γὰρ καὶ ἀντιστροφὴν τὸ “ ὦ καλλίπυργον σοφία ν ” — ἐκ κώλων χοριαμβικῶν ἐπιμεμιγμένων διιάμβοις, ἐπιτρίτοις, ἀμφιβράχεσι, κρητικοῖς καὶ βακχείοις ι′, ὧν τὸ α′ δίμετρον ἀκατάληκτον· τὸ β′ ὅμοιον καταληκτικὸν ἤτοι ἑφθημιμερές· τὸ γ′ ὅμοιον τῷ α′· τὸ δ′ ὅμοιον τῷ β′· τὸ ε′ ὅμοιον τῷ α′· οὕτω δὲ χρὴ γράφειν αὐτό, ἵν’ ὅμοιον εἴη τῷ τῆς ἀντιστροφῆς ἤτοι δίμετρον· τὸ ϛ′ ἀντισπαστικὸν ἐξ ἀντισπάστου καὶ κρητικοῦ ἤτοι ἀμφιμάκρου· τὸ ζ′ χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον· τὸ η′ ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον ἐξ ἀντισπάστου καὶ ἰάμβου· καλεῖται δὲ τοῦτο ἡμιόλιον διὰ τὸ ἔχειν τὸν ὅλον πόδα τὸν τετρασύλλαβον καὶ τὸ ἥμισυ αὐτοῦ, τὰς β′ συλλαβάς· τὸ θ′ ὅμοιον τῷ α′· τὸ ι′ “ ἐστὶν ἀγὼν μέγιστο ς ” ὅμοιον τῷ β′. [10]

sch th-tr nub 949b ἐν ἐκθέσει δὲ στίχοι δύο ἀναπαιστικοὶ τετράμετροι καταληκτικοί· ἔθος γάρ ἐστι μετὰ τὴν περίοδον τῆς κορωνίδος ἐν ἐκθέσει τιθέναι στίχους δύο ὁμοίους τοῖς ἑξῆς. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα. στροφὴ κώλων ιβ′.

sch th-tr nub 949d τὼ πισύνω] οἱ θαρραλέοι. περιδεξίοισι Th 1/2 [ περιδεξίοισιν Tr 1/2 ] ] ἄγαν δεξίοις καὶ ἐπιτηδείοις.

sch th-tr nub 950bis ※ Vat solus. φροντίσι] σκέψεσι.

sch th-tr nub 952 γνωμοτύποισι Th 1 [ γνωμοτύποις Th 2 Tr 1/2 ] ] ταῖς κατὰ νοῦν τυπουμέναις. ἀνεῖται] ἐνδέδοται.

sch th-tr nub 957a τοῖς ... φίλοις] σοὶ καὶ σοί. τοῖς .

sch th-tr nub 957b .. φίλοις] ἤγουν ὑμῖν τοῖς λόγοις. ἀνάπαιστοι τετράμετροι β′.

sch th-tr nub 959b ὦ] δίκαιε. στεφανώσας] κοσμήσας.

sch th-tr nub 960 < praeter Lh (qui tantum) et Cant.2 (qui < tantum). εἴσθεσις διπλῆς ὑφ’ ἓν στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν καὶ ἀκαταλήκτων μζ′, ὧν τελευταῖος ἦρος ἐν ὥρᾳ χαίρων, ὁπόταν πλάτανος πτελέᾳ ψιθυρίζῃ.

sch th-tr nub 961a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καλεῖται δὲ τοῦτο τὸ μέτρον ἀριστοφάνειον, ἐπειδὴ εὐδοκίμησε λέγων· “ ὅ τ ’ ἐγὼ τὰ δίκαια λέγων ἤνθου ν” . ταῦτα γὰρ ἄγαν Ἀριστοφάνης ἀπεδέχετο ὡς εὖ πεποιημένα. λέξω τοίνυν τὴν ἀρχαίαν : εἴσθεσις διπλῆς περιοδικῆς ἀμοιβαίας μονοστροφικῆς ὑφ’ ἓν διὰ τὸ εἰς μῆκος ἐκτείνεσθαι τὴν περίοδον ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν εἰς συλλαβὴν μζʹ, ὧν τελευταῖος ἦρος ἐν ὥρᾳ χαίρων, ὁπόταν πλάτανος πτελέᾳ ψιθυρίζῃ.

sch th-tr nub 961b καλεῖται δὲ τοῦτο τὸ μέτρον ἐξόχως, ὡς εἴρηται, ἀριστοφάνειον· ὡς Ἡφαιστίων φησί, διὰ τὸ πολλῷ τοῦτον τούτῳ τῷ μέτρῳ χρήσασθαι, καὶ διὰ τὸ ἐν τοῖς παροῦσιν εὐδοκιμῆσαι ἀναπαίστοις λέγοντα· “ ὅ τ ’ ἐγὼ τὰ δίκαια λέγων ἤνθου ν” . ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει τῶν στίχων διπλῆ ἔξω νενευκυῖα. ὡς] πῶς.

sch th-tr nub 961 ※ Vat solus (ante vs.). ἤνθουν] ἐθαυμαζόμην.

sch th-tr nub 962b νενόμιστο] νενομοθετημένη ἦν παρὰ πάσῃ τῇ πόλει. πρῶτον] πρῶτον γὰρ ἐν εὐταξίᾳ ἡ σιωπή.

sch th-tr nub 963b ἔδει] πρέπον ἦν. ἐς Th 1 Tr 1/2 [ εἰς Th 2 ] κιθαριστοῦ] τὸν οἶκον τοῦ τῆς μουσικῆς διδασκάλου.

sch th-tr nub 964 ἐσπούδαζον γὰρ τότε περὶ μουσικὴν Ἀθηναῖοι. Tr 2 κωμήτας] χ.

sch th-tr nub 965b τὸ χ, Tr 1 ὅτι κωμήτας τοὺς ἐκ τοῦ αὐτοῦ ἀμφόδου καὶ τόπου ἔλεγον · διὸ ἐπισημειοῦται τὴν λέξιν συνήθως τῷ χ Tr 2 . κωμήτας] τοὺς Tr 2 πολίτας.

sch th-tr nub 965d γυμνοὺς] ἀπερίττους. ἐντεῦθεν δεικνύει Th 1/2 Tr 1 [ δείκνυσι Tr 2 ] τὸ τοῦ βίου ἀπέριττον, ὃ Th 1/2 Tr 1 [ ὅπερ Tr 2 ] εἶχον οἱ παλαιοί.

sch th-tr nub 965f κρυμνώδη Th 1 κριμνώδη Tr 1 [ κρημνώδη Th 2 Tr 2 ] ] ψυχρότατα. κρημνώδη] κριμνώδη.

sch th-tr nub 966a προμαθεῖν] προδιδαχθῆναι. ξυνέχοντας] συσφίγγοντας.

sch th-tr nub 967a εἴδη ᾀσμάτων ἀμφότερα, τὸ “ Παλλάδα περσέπτολιν δεινὰ ν ” καὶ τὸ “ τηλέπορόν Th 1 Tr 1/2 [ “ τηλαίπορόν Th 2 ] τι βόημ α ” Th 1 [ βόαμ α ” Th 2 Tr 1/2 ] . ἔστι δὲ τὸ μὲν Λαμπροκλέους τοῦ Μίδωνος υἱοῦ· Παλλάδα περσέπτολιν κλῄζω πολεμοδόκον, τὸ δὲ Κυδίδου Ἑρμωνέως· τηλέπορόν τι βόαμα λύρας. Tr 1/2 τηλέ(αί) πορόν] μακρὰν ἐρχόμενον.

sch th-tr nub 967c βόαμα] βόημα. ἐντειναμένους] ἐκτεταμένως ᾄδοντας.

sch th-tr nub 968b τὴν ἁρμονίαν κτλ.] τὸ μέλος τῆς κιθάρας ὡς συντόνου οὔσης τῆς παλαιᾶς ἁρμονίας Tr 1/2 καὶ οὐκ ἀνειμένης, ὡς οἱ νέοι ἐπενόησαν Tr 2. βωμολοχεύσαιτ’] φλυαρήσειε.

sch th-tr nub 969b κάμψειέ(ν)] παρηχήσειε. κάμψειέν] ἤγουν κεκλασμένῃ φωνῇ τὴν ᾠδὴν προφέροι.

sch th-tr nub 969d καμπὴν] παρήχησιν τοῦ μέλους. οἱ νῦν] κάμπτουσι.

sch th-tr nub 971b Φρῦνιν] μελῳδὸς οὗτος πάνυ Th 1/2 Tr 1 ἄμουσος. ὁ Φρῦνις κιθαρῳδὸς ἦν Μιτυληναῖος· κωμῳδεῖται δέ, ὅτι πρῶτος τὴν ἀρχαίαν ἁρμονίαν ἔκλασεν ἐπὶ τὸ μαλθακώτερον· ἦν δὲ πάνυ ἄμουσος καὶ ψυχρός.

sch th-tr nub 972 πολλὰς] πληγάς. ἐν παιδοτρίβου] τῷ οἴκῳ τοῦ διδασκάλου.

sch th-tr nub 973b προβαλέσθαι] προαγαγεῖν, Th 1/2 Tr 1 προτείνειν. ἀπηνές] ἀναίσχυντον.

sch th-tr nub 975 συμψῆσαι] καθομαλίσαι τὴν κόνιν · ἐν γὰρ ψάμμῳ λεπτοτάτῃ ἐγυμνάζοντο Tr 1/2 . εἴδωλον] τύπον.

sch th-tr nub 976b τοῖσιν ἐρασταῖς] παρεγίνοντο γάρ, ὥστε γυμνοὺς ὁρᾶν τοὺς ἐρωμένους. τῆς ἥβης] τῶν αἰδοίων.

sch th-tr nub 977a ὑπένερθε(ν)] ὑποκάτω. τότ’ ἂν] τὰ δύο “ ἄ ν ” ἐκ παραλλήλου.

sch th-tr nub 979a μαλακὴν] ποταπήν. φυρασάμενος] μολύνας ταῖς μεταβολαῖς Th 1 Tr 2 [ τῇ μεταβολῇ Th 2 Tr 1 ] ταῖς πρὸς τὸ μαλθακὸν καὶ γυναικῶδες Tr 2 .

sch th-tr nub 980 προαγωγεύων] μαστροπεύων. ἑλέσθαι] λαβεῖν, προκρῖναι.

sch th-tr nub 981 Th 1 Tr 1/2 [ προκρίναι. Th 2 ] ὀψοφαγεῖν] ὄψα ἐσθίειν καὶ δείπνοις πολυτελέσι χρῆσθαι.

sch th-tr nub 983b κιχλίζειν] ἀτάκτως γελᾶν. ἴσχειν] ἔχειν.

sch th-tr nub 983 praeter Cant.2. Διιπολιώδη] ἑορτὴ τοῦ Διὸς παλαιοτάτη τὰ Διιπόλια.

sch th-tr nub 984b οἱ ἀρχαιότατοι τῶν Ἀθηναίων τέττιγας χρυσοῦς ἐν τοῖς τῶν τριχῶν πλέγμασιν εἶχον, διότι οἱ τέττιγες μουσικοὶ ὄντες ἀνάκεινται τῷ Ἀπόλλωνι, ὃς ἦν πατρῷος τῇ πόλει θεός Tr 1/2 . Κηκείδου] οὗτος παλαιὸς ποιητὴς διθυραμβοποιός Tr 1/2 .

sch th-tr nub 985b Βουφονίων] καὶ αὕτη παλαιὰ ἑορτὴ Th 1/2 Tr 1 [ ἑορτὴ παλαιὰ Tr 2 ] τοῦ Διός. δείκνυσι δὲ Th 2 διὰ τούτων πάντων, ὡς ἀρχαῖά ἐστιν, ἃ ὁ δίκαιος λέγει.

sch th-tr nub 985c παρῆχθη δὲ τὰ Βουφόνια οὕτω· θύοντός τινός ποτε τῷ Διὶ ἐλθών ποτε Th 1 [ ποθεν Th 2 Tr 1/2 ] βοῦς ἁρπάζει πλακοῦντα· καὶ ὁ τὴν θυσίαν ποιῶν ἀναιρεῖ τοῦτον εὐθὺς ἀξίνῃ· ὅθεν νενόμιστο Th 1 [ νενόμισται Th 2 Tr 1/2 ] καθ’ ἕκαστον ἔτος ἑορτὴ πολυτελὴς γίνεσθαι τὰ Βουφόνια. Μαραθωνομάχους p. [5]

sch th-tr nub 986 i.m.] Μαραθωνομάχους λέγει Tr 2 τοὺς ἐν τῷ Μαραθῶνι τροπωσαμένους τὴν Δαρείου στρατιάν, ἣν Δάτις ὁ τούτου στρατηγὸς ἤγαγεν οὖσαν περὶ πεντήκοντα μυριάδας. δέον] πρέπον ὄν.

sch th-tr nub 989a τῆς κωλῆς] τοῦ ποδός· ἕτεροι Th 2 Tr 1 [ οἱ Tr 2 ] δέ φασι τοῦ αἰδοίου. προέχων] τις αὐτῶν.

sch th-tr nub 989c σημείωσαι τὴν σύνταξιν· πρῶτον γὰρ πληθυντικῶς εἰπὼν εἰς ἑνικὸν ἀπέδωκεν. ἡ δὲ Τριτογένειά Th 1/2 Tr 1 [ Τριττογένειά Tr 2 ] ἐστιν εἶδος ὀρχήσεως, ἣ καλεῖται ἐνόπλιος· διὰ δὲ τὸ εἰς τὴν Ἀθηνᾶν ταύτην τελεῖσθαι Τριτογένεια Th 1/2 Tr 1 [ Τριττογένεια Tr 2 ] κέκληται· τριτὼ Th 1/2 Tr 1 [ τριττὼ Tr 2 ] γὰρ ἡ κεφαλὴ κατὰ γλῶσσαν. Th 1/2 Tr 1 [ παρ’ Αἰολεῦσιν. Tr 2 ] ἐγεννήθη δὲ ἡ Th 1/2 Tr 1 Ἀθηνᾶ ἐκ τῆς κεφαλῆς τοῦ Διός. ἐτέλουν δὲ ταύτην τὴν ὄρχησιν οἱ πρόσθεν Th 1/2 Tr 1 [ πρότερον Tr 2 ] μὲν Th 1 Tr 1/2 ὡπλισμένοι καὶ τὴν ἀσπίδα ἐν πλαγίῳ φέροντες, οἱ ὕστερον δὲ ἔμπροσθεν τῶν ποδῶν ἔφερον. Τριτογενείας] Τριτογενείης. [5]

sch th-tr nub 990 αἱροῦ] πρόκρινον. κἀπιστήσει(ῃ)] μαθήσῃ.

sch th-tr nub 991b κἀπιστήσει] κἀπιστήσῃ. ἀγορὰν] ἐνταῦθα γὰρ οἱ πανοῦργοι διατρίβουσιν.

sch th-tr nub 991d ἀπέχεσθαι] πάνυ γὰρ οἱ Th 1/2 Tr 1 [ οἱ γὰρ Tr 2 ] πόρνοι λουτροῖς χρῶνται. καὶ .

sch th-tr nub 992a .. αἰσχύνεσθαι] οὐ γὰρ ἀνέχονται οἱ σώφρονες αἰσχρῶν ἀκουσμάτων. φλέγεσθαι] πυροῦσθαι, ἐρυθριᾶν.

sch th-tr nub 993a πρεσβυτέροις] σοῦ. ὑπανίστασθαι] παραχωρεῖν.

sch th-tr nub 993b Th 1/2 Tr 1 [ ὑπαναχωρεῖν. Tr 2 ] σκαιουργεῖν] γρ.

sch th-tr nub 994 Tr 1 κακουργεῖν. τῆς αἰδοῦς .

sch th-tr nub 995a .. ἄγαλμα] ἤγουν αἰδῶ περιφραστικῶς. ἀναπλάσσειν Th 1/2 [ ἀναπλάσειν Tr 1/2 ] ] τυπώσειν, ἐργάσεσθαι.

sch th-tr nub 996a εἰς ὀρχηστρίδος] οἶκον. εἰσάγειν] σεαυτόν.

sch th-tr nub 996b Th 1 Tr 1/2 [ ἑαυτόν. Th 2 ] ταῦτα] τὰ κακά , ἃ εἶπον Tr 2 .

sch th-tr nub 996d κεχηνὼς] ἀτενῶς βλέπων καὶ ὁλοσχερῶς τούτοις ἐγκείμενος. μήλῳ βληθεὶς] ἤγουν Tr 2 ἔρωτι· ἐπεὶ τὸ μῆλον Ἀφροδίτης ἱερόν.

sch th-tr nub 997b τῆς ... ἀποθραυσθῇς] τῆς κοσμιότητος καὶ σεμνότητος ἀποπέσῃς. Ἰαπετὸν] ἀρχαῖον καὶ Th 1/2 Tr 1 μωρόν· ὁ γὰρ Ἰαπετὸς θεὸς ἦν πρὸ τοῦ Κρόνου.

sch th-tr nub 998b καλέσαντα] σὲ ἐκεῖνον. μνησικακῆσαι] μισῆσαι.

sch th-tr nub 999b τὴν ἡλικίαν] τοῦ πατρός. ἐνεοττοτροφήθης] ὥσπερ τις νεοττὸς ἐτράφης.

sch th-tr nub 999 praeter Cant.2 Lv M9. πείσει] πείσῃ.

sch th-tr nub 1001a τοῖς ... υἱέσιν] οὗτοι γὰρ πάνυ ἄφρονες ἦσαν. οὗτοί εἰσιν Tr 1 [ οὗτοι ἦσαν Tr 2 ] οἱ Ἱπποκράτους υἱοί· Τηλέσιππος, Δημοφῶν καὶ Περικλῆς , οἳ διαβάλλονται Tr 1 [ · διεβάλλοντο δὲ Tr 2 ] εἰς ἁπλότητα· καὶ Εὔπολις Ἱπποκράτους τε παῖδες ἐμβόλιμοί τινες βληχητὰ τέκνα κοὐδαμῶς γε τοῦ τρόπου. [5]

sch th-tr nub 1001c εἴξεις] ὁμοιωθήσῃ. εἰκότως εἶπε τὸ Tr 2 " καλοῦσ ι" , καὶ οὐ "καλέσουσι", πρὸς τὸ " εἴξει ς" .

sch th-tr nub 1001d διότι μὲν γὰρ ἅπαξ ἔμελλεν ὁμοιωθήσεσθαι, "εἴξεις" εἶπε· διότι δὲ μετὰ τὴν ὁμοίωσιν οὕτως ἀεὶ ἔμελλε καλεῖσθαι, "καλοῦσιν" εἴρηκεν. συνέθηκε δὲ καὶ τὸ " βλιττομάμα ν " ἀπὸ τοῦ βλίττου, ὅ ἐστι λάχανον λίαν ἔκλυτον, καὶ τῆς ποιᾶς καὶ οἷον ἀνάρθρου καὶ μωρᾶς τῶν παίδων φωνῆς τοῦ μαμᾶν· τουτέστι μαλακογνώμονα καλοῦσι καὶ μωρόν. Tr 2 βλιττομάμαν] μαλακογνώμονα καὶ μωρόν. [5]

sch th-tr nub 1002a λιπαρὸς] τῷ σώματι. εὐανθὴς] ὡραῖος.

sch th-tr nub 1002c ἐν γυμνασίοις] ἐν τοῖς ἀγῶσι. διατρίψεις] διάξεις.

sch th-tr nub 1003a στωμύλλων] φλυαρῶν. κατὰ] εἰς.

sch th-tr nub 1003c τριβολεκτράπελ'] ἐπιτριβούσας λέξεις τοὺς τῷ λέγοντι αὐτὰς πλησιάζοντας· λέγει δὲ ἀντὶ τοῦ πανουργίας καὶ λόγων στροφάς. γλισχραντι λεγ Th 1 Tr 1 [ λογ Th 2 Tr 2 ] εξεπιτρίπτου] ἤγουν Tr 2 ἀδίκου.

sch th-tr nub 1004b ἐπεὶ Tr 2 ἡ γὰρ Th 1 Tr 1 ἀδικία πανουργίᾳ καὶ στροφαῖς λόγων κέχρηται καὶ ταῖς ἀντιλογίαις γλίσχρος ἐστὶ καὶ ἀκατανόητος, καὶ πρὸς οὓς γίνεται, ἐπιτρίβει αὐτοὺς τὸ παράπαν, ἢ ἐπίτριπτός ἐστι καὶ ἀξία ἐπιτριβῆς , εἰκότως συνέθηκε τὴν λέξιν ἐκ τούτων Tr 2 . Ἀκαδημίαν] σχολεῖον Th 1/2 Tr 1 [ τὴν σχολὴν τοῦ Tr 2 ] Πλάτωνος.

sch th-tr nub 1005b ταῖς μορίαις] ταῖς Tr 2 ἐλαίαις. ἡττηθεὶς τῆς Ἀθηνᾶς Ποσειδῶν ἐπὶ τῇ τῆς ἐλαίας ἐπιδείξει ἔπεμψε τὸν υἱὸν αὐτοῦ ταύτην τεμοῦντα.

sch th-tr nub 1005c Th 1/2 Tr 1 [ ἐκτεμεῖν. Tr 2 ] ὁ δὲ ἀνατείνας τὸν πέλεκυν ταύτης μὲν ἠστόχησε, τὸν δὲ πόδα αὐτοῦ πλήξας ἐτελεύτησε, καὶ οὕτως Th 1/2 Tr 1 [ οὕτω Tr 2 ] μορία ἡ ἐλαία ἐκλήθη, ὡς μόρου παρεκτική. ἡ δὲ Ἀκαδημία σχολεῖον ἦν ἐν Ἀθήναις τοῦ Πλάτωνος, Th 1 ἦν δὲ ἡ Ἀκαδημία σχολεῖόν τι ἐν Ἀθήναις, Th 2 Tr 1/2 ἐλαίαις καὶ ἄλλοις τισὶ δένδρεσι κατάσκιον. [1]

sch th-tr nub 1005d ἀποθρέξει Th 1 Tr 1 ἀποθρέξῃ Th 2 [ ἀποθρέξεις Tr 2 ] ] ἀπέλθῃς , δραμῇ. Tr 2 καλάμῳ λευκῷ] ἴδιον ἦν τῶν Διοσκούρων στεφανοῦσθαι καλάμῳ · λιτὸς δὲ οὗτος ὁ στέφανος καὶ ἀπέριττος Tr 2 .

sch th-tr nub 1007a σμίλακος Th 1/2 Tr 1 [ μίλακος Tr 2 ] ] βοτάνη οὕτω καλουμένη πρέπουσα στεφάνῳ. κἀπραγμοσύνης] ὡς Ἀριστοφάνης ὁ γραμματικός φησιν, φυτόν ἐστιν ἐν Ἀκαδημίᾳ φυόμενον.

sch th-tr nub 1007c ὅτι Ἀριστοφάνης ὁ γραμματικὸς τὴν ἀπραγμοσύνην φυτὸν λέγει ἐν Ἀκαδημίᾳ φυόμενον. λεύκης] δένδρον τι.

sch th-tr nub 1007e φυλλοβολούσης] τὰ φύλλα ῥιπτούσης. τελευταῖος τῶν τετραμέτρων ἀναπαίστων.

sch th-tr nub 1008b ἦρος] ἔαρος. πλάτανος πτελέᾳ] δένδρα ὑψίκομα ἀμφότερα Tr 2 .

sch th-tr nub 1008d ψιθυρίζῃ] ἠχῇ ὑπὸ τοῦ ἀνέμου. Th 2 Tr 1 [ ὑπὸ τοῦ ἀνέμου ἠχῇ. Tr 2 ] > praeter Cant.

sch th-tr nub 1008 2. ἢν ταῦτα ποιεῖς : ἡ περ[ίοδος] τῆς διπλῆς ὑφ' ἓν κώλων κ' ἀναπαιστικῶν μονομέτρων καὶ διμέτρων, ὧν α' " ἢν ταῦτα ποϊεῖς ἃ 'γὼ φράζ ω " ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον· τὸ β' " καὶ πρὸς τούτοις προσέχεις τὸν νοῦ ν " δίμετρον ὅμοιον· τὸ γ' " ἕξεις αἰεὶ στῆθος λιπαρό ν " ὅμοιον δίμετρον· τὸ δ' " χροιὰν λαμπρά ν " ὅμοιον μονόμετρον· τὸ ε' " ὤμους μεγάλου ς " ὅμοιον μονόμετρον· τὸ ϛ' " γλῶτταν βαιά ν " ὅμοιον· τὸ ζ' " πυγὴν μεγάλη ν " ὅμοιον· τὸ η' " πόσθην μικρά ν " ὅμοιον· τὸ θ' " ἢν δ ' ἅπερ οἱ νῦν ἐπιτηδεύῃ ς " ὅμοιον δίμετρον· τὸ ι'

Eulogikon public reading copy · View original HTML at eulogikon.org

“ πρῶτα μὲν ἕξει ς ” μονόμετρον· τὸ ια′ “ χροιὰν ὠχρά ν ” ὅμοιον· τὸ ιβ′ “ ὤμους μικρού ς ” ὅμοιον· τὸ ιγ′ “ στῆθος λεπτό ν , γλῶτταν μεγάλη ν ” δίμετρον· τὸ ιδ′ “ πυγὴν μικρά ν , κωλὴν μεγάλη ν ” δίμετρον· τὸ ιε′ “ ψήφισμα μακρό ν ” μονόμετρον· τὸ ιϛ′ “ καί ς ’ ἀναπείσε ι ” ὅμοιον· τὸ ιζ′ “ τὸ μὲν αἰσχρὸν ἅπαν καλὸν ἡγεῖσθα ι ” δίμετρον· τὸ ιη′ “ τὸ καλὸν δ ’ αἰσχρό ν ” μονόμετρον· τὸ ιθ′ “ καὶ πρὸς τούτοις τῆς Ἀντιμάχο υ ” δίμετρον· τὸ κ′ “ καταπ υ γοσύνης ἀναπλήσε ι ” δίμετρον καταληκτικόν.

sch th-tr nub 1009b

ἀναπαιστικὰ κῶλα δίμετρα κ′, ὧν τελευταῖος καταπυγοσύνης ἀναπλήσει. ἢν ταῦτα ποιῇς : ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν ιε′, ὧν τὰ μὲν ιγ′ δίμετρα ἀκατάληκτα· τὸ ιδ′ μονόμετρον, ὃ ὀνομάζεται παρατέλευτον, ὡς εἴρηται· τὸ δὲ ιε′ “ καταπυγοσύνης ἀναπλήσε ι ” ἑφθημιμερές, ὃ καλεῖται παροιμιακόν, ὡς εἰρήκαμεν.

sch th-tr nub 1009c

ἐπὶ τῷ τέλει δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος τοῦ κώλου, ἔξω νενευκυῖαι. προσέχοις] προσκολλᾷς.

sch th-tr nub 1011

στῆθος κτλ.] οἱ γὰρ Th 1/2 Tr 1 [ ὅτι οἱ Tr 2 ] σώφρονες ἐν ἀναπαύσει διάγοντες πάντα ταῦτα Th 1/2 Tr 1 [ ταῦτα πάντα Tr 2 ] ἔχουσιν. βαιάν] μικράν.

sch th-tr nub 1014

πόσθην] ἤγουν μόριον. ἐπιτηδεύῃς] μετέρχῃ.

sch th-tr nub 1016

οἱ ἄδικοι καὶ πανοῦργοι οὐκ ἐν ἡσυχίᾳ καὶ ἀναπαύσει διάγουσιν, ἀλλὰ νῦν μὲν ἐν δικαστηρίοις δικορραφοῦσι, νῦν δὲ ἐν τοῖς προεστῶσι τῆς πόλεως, ζητοῦντες, ὅντινα συκοφαντήσουσι καὶ τὰ αὐτοῦ λάβωσι· διὸ καὶ πάντα ταῦτα, ἃ καταλέγει, ἔχουσιν, ἐξ ὧν οὕτω τρίβονται. κωλὴν] πόσθην.

sch th-tr nub 1018

Th 1/2 Tr 1 [ ἤγουν μόριον. Tr 2 ] ψήφισμα μακρόν] δικορραφίας μεγάλας καὶ ὑποθέσεων κρίσεις καὶ στροφάς.

sch th-tr nub 1022a

τῆς Ἀντιμάχου] τοῦτο παρατέλευτον λέγεται. Ἀντιμάχου] οὗτος λίαν πόρνος ἦν.

sch th-tr nub 1023a

καταπυγοσύνης] πορνείας. ἀναπλήσει Th 1 Tr 1/2 [ καταπλήσει Th 2 ] ] πληρώσει.

sch th-tr nub 1023

〈1023〉 praeter Cant.2. ὦ καλλίπυργον : κομμάτιον πρὸ τῆς διπλῆς καὶ εἰσθέσεως κώλων ι′, ὧν τὸ πρῶτον “ ὦ καλλίπυργον σοφίαν κλεινοτάτην τ ’ ἐπασκῶ ν ” χοριαμβικὸν τετράμετρον καταληκτικὸν ἐξ ἐπιτρίτου τρίτου, χοριάμβων δ′ καὶ βακχείου· τὸ β′ “ ὡς ἡδύ σου τοῖς λόγοις σῶφρόν τ ’ ἔπεστιν ἄνθο ς ” τετράμετρον βραχυκατάληκτον ἐξ ἐπιτρίτων τρίτων β′, διτροχαίου καὶ τροχαίου· τὸ γ′ “ εὐδαίμονες δ ’ ἄ ρ ’ ἦσαν ο ἱ ” δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου τρίτου καὶ διιάμβου· τὸ δ′ “ ζῶντες τό τ ’ ἐπὶ τῶν προτέρω ν ” δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου τρίτου πεντασυλλάβου καὶ χοριάμβου· τὸ ε′ “ πρὸς οὖν τά δ’ , ὦ κομψοπρεπῆ μοῦσαν ἔχω ν ” τρίμετρος ἀκατάληκτος ἐκ διιάμβου καὶ δύο χοριάμβων· τὸ ϛ′ “ δεῖ σε λέγειν τι καινό ν , ὡ ς ” δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου καὶ διιάμβου· τὸ ζ′ “ εὐδοκίμησεν ἀνή ρ ” δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερὲς ἐκ χοριάμβου καὶ βακχείου· τὸ η′ “ δεινῶν δέ σοι βουλευμάτω ν ” δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτων τρίτων δύο· τὸ θ′ “ ἔοικε δεῖν πρὸς αὐτό ν ” ἑφθημιμερὲς ἐκ διιάμβου καὶ ἀμφιβράχεος ἢ βακχείου διὰ τὴν ἀδιάφορον· τὸ ι′ “ εἴπερ τὸν ἄνδ ρ ’ ὑπερβαλεῖ καὶ μὴ γέλω τ ’ ὀφλήσει ς ” τετράμετρος καταληκτικὸς [ἐξ ἐπι]τρίτου τρίτου, διιάμβου, ἐπιτρίτου τρίτου καὶ βακχείου· εἰ δὲ βούλει, [τὰ] γ′ ταῦτα ἰαμβικὰ ποίει· [β′] δίμετρα, τὸ δὲ ι′ τετρά[μετρος] ὅμοιος εἷς.

sch th-tr nub 1024b

ἀντιστροφὴ κώλων ιβ′. ὦ καλλίπυργον σοφίαν : ἑτέρα εἴσθεσις μέλους χοροῦ μεσῳδικὴ καὶ ἀντίστροφος ὁμοία τῇ προρρηθείσῃ στροφῇ ἐκ κώλων χοριαμβικῶν ι′, ὧν τὸ α′ δίμετρον ἀκατάληκτον· τὸ β′ καταληκτικὸν ἤτοι ἑφθημιμερές· τὸ γ′ ὅμοιον τῷ γ′· τὸ δ′ ὅμοιον τῷ δ′· τὸ ε′ ὅμοιον τῷ ε′· τὸ ϛ′ ὅμοιον τῷ ϛ′· τὸ ζ′ ὅμοιον τῷ ζ′· τὸ η′ ὅμοιον τῷ η′.

sch th-tr nub 1024c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ θ′ ὅμοιον τῷ θ′· τὸ ι′ “ εὐδοκίμηκεν ἀνή ρ ” ἑφθημιμερές. ἐν ἐκθέσει δὲ στίχοι δύο ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ ὅμοιοι τοῖς ἑξῆς. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος. ⋇ Vat solus (ante vs.

sch th-tr nub 1024 ). ἐπασκῶν] μετερχόμενος.

sch th-tr nub 1026 ὡς] ὄντως, λίαν. σῶφρον .

sch th-tr nub 1027 .. ἄνθος] “ ἡδὺ σῶφρο ν ” ἀσυνδέτως εἴρηκεν, ἐπεὶ εἴη ἄν τινι σῶφρον ἄνθος, οὐ μὴν καὶ ἡδύ. οὕτω χρὴ γράφειν τὰ κῶλα ταῦτα, ὡς διωρθώθη παρ’ ἡμῶν, ἵν’ οἰκείως ἔχῃ πρὸς τὰ τῆς στροφῆς.

sch th-tr nub 1030a τῶν προτέρων] ἐπί. ὦ] ἄδικε.

sch th-tr nub 1030c κομψοπρεπῆ] πανοῦργον καὶ πιθανήν. ὡς] ὅτι.

sch th-tr nub 1033a εὐδοκίμησεν(κεν)] ἐθαυμάσθη. εὐδοκίμηκεν] εὐδοκίμησεν.

sch th-tr nub 1033c ἀνήρ] ὁ δίκαιος. δεινῶν] δεξιῶν.

sch th-tr nub 1034b δεῖν] χρείαν εἶναι. τὸν ἄνδρ’] τὸν δίκαιον.

sch th-tr nub 1035b ὑπερβαλεῖ(ῇ)] νικήσεις. ὑπερβαλεῖ] ὑπερβαλῇ.

sch th-tr nub 1035 〈1035〉 . διπλῆ καὶ εἴσθεσις ἀμοιβαία στίχων τετραμέτρων καταληκτικῶν καὶ ἀκαταλήκτων ἰαμβικῶν μα′, ὧν τελευταῖος [ἕξει] τίνα γνώμην λέγειν τὸ μὴ εὐρύπρωκτος εἶναι.

sch th-tr nub 1036b καὶ μὴν πά λ ’ ἔγωγε : εἴσθεσις ἑτέρας διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν τετραμέτρων καταληκτικῶν μθ′, ὧν τελευταῖος ἕξει τινὰ γνώμην λέγειν τὸ μὴ εὐρύπρωκτος εἶναι. καλεῖται δὲ τοῦτο τὸ μέτρον, ὡς εἴρηται, ἱππωνάκτειον διὰ τὸ κατακόρως αὐτὸν τούτῳ χρήσασθαι. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. ⋇ praeter Lh Vd (ante hunc vs. [5]

sch th-tr nub 1036 Vat, paulo inferius Cant.2, post spat. inter v. 1035/36 Lv M9). συνταράξαι] ἀνατρέψαι.

sch th-tr nub 1038 ὅτι Tr 2 ὁ ἀντιλέγων πρὸς μείζονα αὐτοῦ ἀντιλέγει. μείζων δὲ ὁ νόμος καὶ τὸ δίκαιον τοῦ ἀδίκου. διὰ τοῦτο οὗτος ἥττων ἐκλήθη. Tr 2 ταῖς δίκαις] ταῖς Th 1 Tr 2 δικαιοσύναις.

sch th-tr nub 1041a πλεῖν] πλέον. στατήρων] ἤγουν Tr 2 νομισμάτων.

sch th-tr nub 1041c εἴρηται, ὅτι ὁ στατὴρ τρία ἔχει νομίσματα, δίδραχμα δὲ δύο. αἱρούμενον] προκρίνοντά τινα.

sch th-tr nub 1042b ἥττονας] ἀδίκους. νικᾶν] τοὺς δικαίους.

sch th-tr nub 1043a σκέψαι] ὦ Φειδιππίδη. ὡς] ὅτι, πῶς.

sch th-tr nub 1046 δειλὸν ποιεῖ] μαλακίας γὰρ αἴτιον. μέσον .

sch th-tr nub 1047 .. ἄφυκτον] ἐκ μεταφορᾶς τῶν παλαιόντων· ὁ γὰρ τὰ μέσα ληφθεὶς ἀφύκτως ἔχεται. ἐν τῇ Ἀττικῇ ἀνεδόθησαν τῷ Ἡρακλεῖ θερμὰ ὕδατα, ἵνα λούηται· ἐποίησε δὲ ἀναδοθῆναι ἡ Th 1/2 Ἀθηνᾶ δεξιουμένη αὐτὸν διὰ τοὺς ἄθλους.

sch th-tr nub 1051 ἐκαλοῦντο δὲ Ἡράκλεια θερμά. καὶ Πείσανδρος τῷ δ’ ἐν Θερμοπύλῃσι θεὰ γλαυκῶπις Ἀθήνη ποίει θερμὰ λουτρὰ παρὰ Tr 1 [ λοετρὰ παραὶ Tr 2 ] ῥηγμῖνι θαλάσσης. Tr 1/2 δι’ ἡμέρας λαλούντων] λέγουσι γάρ· ἐπειδήπερ Ἡρακλῆς ὁ καρτερὸς Th 1/2 Tr 1 ἐλούετο, διὰ τί μὴ καὶ ἡμεῖς. [5]

sch th-tr nub 1057 σοφοὺς ἅπαντας] Ὀδυσσέα καὶ τοὺς ὁμοίους αὐτῷ. ἀσκεῖν] ἐπιτηδεύειν.

sch th-tr nub 1060 δύω] συνίζησις. τῷ] τίνι ἀνθρώπῳ.

sch th-tr nub 1063a πολλούς] πολλοῖς. γοῦν] γάρ.

sch th-tr nub 1063c σώφρων ὁ Πηλεὺς ὢν καὶ θεοφιλὴς ὑπὸ θεῶν ἔλαβε μάχαιραν, ὅτε ὑπό τινων εἱρκτῇ κατεκλείσθη· δι’ ἧς καὶ τοὺς Λαπίθας κατεπολέμησεν. ἠξίωται δὲ καὶ δι’ ἀρετὴν τρόπων θνητὸς ὢν θεᾷ συμμιγῆναι τῇ Θέτιδι. ὁ Πηλεὺς ἐγένετο σωφρονέστατος· Ἀστυδαμείας δὲ τῆς Ἀκάστου

γαμετῆς ἐρασθείσης αὐτοῦ καὶ μὴ δυνηθείσης πεῖσαι, ἀλλὰ διαβολῇ χρησαμένης κατ’ αὐτοῦ πρὸς τὸν Ἄκαστον οὗτος μαθὼν εἰς ἐρημίαν αὐτὸν ἄγει καὶ γυμνώσας παντὸς ὅπλου ἀφῆκεν εἰπών· εἰ δίκαιος εἶ, σωθήσῃ.

sch th-tr nub 1063d ὡς δὲ ἔμελλεν ὑπὸ θηρίων διαφθαρῆναι, μάχαιραν αὐτῷ οἱ θεοὶ ἐχαρίσαντο ἡφαιστότευκτον δι’ Ἑρμοῦ, καὶ οὕτω τὸν κίνδυνον ἔφυγεν. (cf. [5]

sch th-tr nub 1063e 1063 c.d.) σώφρων ὁ Πηλεὺς ἐγένετο Tr 2 καὶ θεοφιλής (c) . Ἀστυδαμείας ... ἔφυγε (d)· δι’ ἧς ... Θέτιδι (c). τότε δέ, φασίν, ἠράσθη αὐτοῦ Ἀστυδάμεια, ὅτε πρὸς θήραν τοῦ καλυδωνίου ἐξελθὼν κάπρου τὸν Εὔρυτον ἄκων ἀπέκτεινε καὶ πρὸς Ἄκαστον εἰς Ἰωλκὸν ἀφίκετο καθαρθῆναι τοῦ φόνου κατὰ τὸ ἔθος βουλόμενος. ἀστεῖον] κατ’ εἰρωνείαν ὁ λόγος Th 1/2 Tr 1 . [5]

sch th-tr nub 1065a ὁ Ὑπέρβολος οὗτος λυχνοποιὸς ὢν πάνυ πανοῦργος ἦν. οὐ γὰρ χαλκῷ μόνῳ Th 1 [ μόνον Th 2 Tr 1/2 ] ἐχρῆτο πρὸς τὴν τῶν λύχνων κατασκευήν, ἀλλὰ καὶ μόλιβδον ἐνετίθει ἐντός, ἵνα πολὺ βάρος ἔχοντες Th 1 [ ἕλκοντες Th 2 Tr 1/2 ] πλείονος ἄξιοι ὦσι· καὶ οὕτως ἠπάτα τοὺς πριαμένους. πλεῖν] πλέον.

sch th-tr nub 1068 φασίν, ὅτι τοὺς γινομένους ἐκ Πηλέως παῖδας Θέτις λαμβάνουσα περιέκαιε τὸ θνητὸν αὐτῶν σῶμα βουλομένη ἀθανάτους αὐτοὺς ποιεῖν· καὶ πολλοὺς ἔκαυσε· καὶ τὸν Ἀχιλλέα οὖν τεκοῦσα ἐπέθηκεν εἰς τὸ πῦρ· καὶ γνοὺς ὁ Πηλεὺς ἐπεβόησεν. ἡ δὲ λυπηθεῖσα ἐχωρίσθη αὐτοῦ. ἐνταῦθα δὲ διαβάλλειν βουλόμενος τὸν Πηλέα· διὰ τὸ μὴ εἶναι αὐτόν, φησίν, ὑβριστὴν τοῦτον ἀπολιποῦσα ᾤχετο. Tr 2 παννυχίζειν] ἄγρυπνον Tr 2 διαβιβάζειν. [5]

sch th-tr nub 1070a συναμωρουμένη Th 1/2 [ σιναμωρουμένη Tr 1/2 ] ] συνουσιαζομένη · σῖνος γὰρ τὸ αἰδοῖον Tr 2 . κρόνιππος] παλαιὸς μωρός.

sch th-tr nub 1070c κρόνιππος] μέγας μωρός, ὡς καὶ ἱπποβῖνος ὁ μέγας πόρνος. σημείωσαι Vat, γνωμικόν Cant.

sch th-tr nub 1070d 2 (ante vs.). περὶ τοῦ κοττάβου ἐν τῷ τῶν Ἀχαρνέων εἴρηται δράματι.

sch th-tr nub 1073b κοττάβων Th 1 Tr 1/2 [ κοτάβων Th 2 ] ] ἤχων τῶν ἐκ τῆς μουσικῆς τῶν ἐκθέσμων ᾠδῶν. κοττάβων] παιγνίων τινῶν ἐν συμποσίοις γινομένων.

sch th-tr nub 1073d κιχλισμῶν] γελώτων ἀτάκτων. .

sch th-tr nub 1076a τί;] μετὰ ταῦτα γέγονε. κατελήφθης] ἐκρατήθης.

sch th-tr nub 1077 λέγειν] τῇ γλώττῃ χρῆσθαι καὶ διαστρέφειν τοὺς ἐγκαλοῦντας. αὐτόν] τὸν κατασχόντα.

sch th-tr nub 1080 ἐπανενεγκεῖν] θέλε ἀναβιβάσαι τὸν λόγον Tr 2 . ὅτε μοιχός τις ἑάλω, ἀνασπώμενος τάς τε ὑπογαστρίους καὶ Tr 1/2 τὰς τοῦ πρωκτοῦ καὶ τῆς πόσθης Th 1 τρίχας τέφραν πυρὶ ζέουσαν ἐπάττετο· εἰσώθουν δὲ καὶ εἰς τὴν τοῦ πρωκτοῦ ὀπὴν ῥαφάνην Th 1/2 Tr 1 [ ξύλον εἰς ῥαφάνην ἐσχηματισμένον Tr 2 ] , ὃ μεγίστης ἀτιμίας καὶ ὀδύνης ἦν.

sch th-tr nub 1084a μὴ εὐρύπρωκτος] συνίζησις. τελευταῖος τῶν τετραμέτρων ἰαμβικῶν.

sch th-tr nub 1084 > praeter Cant.2 Lv. ἰαμβικοὶ τρίμετροι τέσσαρες.

sch th-tr nub 1085b ἦν δ ’ εὐρύπρωκτος : διπλῆ καὶ ἔκθεσις μέλους τῶν ὑποκριτῶν ἀμοιβαία, ἔχουσα μὲν ἰαμβεῖα τρίμετρα τέσσαρα πληρούμενα εἰς τὸ “ φέρε δή μοι φράσο ν” , δίμετρα δὲ ἰαμβεῖα καὶ μονόμετρα ἑξῆς κ′, ὧν τὸ πρῶτον “ συνηγοροῦσιν ἐκ τίνω ν ” δίμετρον ἀκατάληκτον· τὸ β′ “ ἐξ εὐρυπρώκτω ν . πείθομα ι ” δίμετρον ἀκατάληκτον· τὸ γ′ “ τί δα ί ; τραγῳδοῦ ς ’ ἐκ τίνω ν ” δίμετρον ἀκατάληκτον { *** }· τὸ δ′ “ ἐξ εὐρυπρώκτω ν . εὖ λέγει ς ” δίμετρον ἀκατάληκτον· τὸ ε′ “ δημαγωγοῦσι δ ’ ἐκ τίνω ν ” τροχαϊκὸν ἀσυνάρτητον ἐκ τροχαϊκῆς καὶ ἰαμβικῆς βάσεως· τὸ ϟ′ “ ἐξ εὐρυπρώκτω ν ” πενθημιμερές· τὸ ζ′ “ ἆρα δῆ τ ’ ἔγνωκας ὡς οὐδὲν λέγει ς ” τροχαϊκὸς τρίμετρος καταληκτικός· τὸ η′ “ καὶ τῶν θεατῶν ὁπότεροι πλείους σκόπε ι ” τρίμετρον ἀκατάληκτον· τὸ θ′ “ καὶ δὴ σκοπ ῶ ” καὶ τὸ ι′ “ τί δῆ θ ’ ὁρᾷ ς ” μονόμετρα ἀκατάληκτα· τὸ ια′ “ πολὺ πλείονας νὴ τοὺς θεού ς ” δίμετρον ἀκατάληκτον· τὸ ιβ′ “ τοὺς εὐρυπρώκτου ς ” ὅμοιον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ ϛʹ· τὸ ιγʹ “ καὶ [ τουτονὶ γοῦ ν ] οἷ δ ’ ἐγ ὼ ” δίμετρον ἀκατάληκτον· τὸ ιδʹ “ κἀκεινον ί ” μονόμετρον· τὸ ιεʹ “ καὶ τὸν κομήτην τουτον ί ” δίμετρον ἀκατάληκτον· τὸ ιϛʹ “ τί δῆ τ ’ ἐρεῖ ς ” μονόμετρον ἀκατάληκτον· τὸ ιζʹ “ ἡττήμε θ ’ ὦ κινούμενο ι ” δίμετρον ἀκατάληκτον· τὸ ιηʹ “ πρὸς τῶν θεῶν δέξασθέ μο υ ” δίμετρον ἀκατάληκτον· τὸ ιθʹ “ θοιμάτιον ώ ς ” μονόμετρον ἀκατάληκτον· τὸ κʹ “ ἐξαυτομολῶ πρὸς ὑμᾶ ς ” ἑφθημιμερές. ἣν δ ’ εὐρύπρωκτοςῇ : ἔκθεσις τῆς διπλῆς ἀμοιβαία, ἧς προτίθενται στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι δʹ· τὰ δὲ λοιπὰ κῶλά εἰσιν ἰαμβικὰ ιηʹ, ὧν τὸ αʹ “ συνηγοροῦσιν ἐκ τίνω ν ” δίμετρον ἀκατάληκτον, ὃ καλεῖται ἀνακρεόντειον διὰ τὸ πολλῷ αὐτῷ χρήσασθαι τὸν Ἀνακρέοντα· τὸ βʹ, τὸ γʹ, τὸ δʹ, τὸ εʹ, τὸ ϛʹ, τὸ ζʹ, τὸ θʹ, τὸ ιʹ, τὸ ιγʹ, τὸ ιεʹ καὶ τὸ ιϛʹ ὅμοια δίμετρα ἀκατάληκτα· τὸ ιαʹ δέ, τὸ ιδʹ καὶ τὸ ιζʹ, ὃ καὶ παρατέλευτον ὀνομάζεται, μονόμετρα ἀκατάληκτα· τὸ δὲ ιηʹ δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, ὃ καλεῖται καὶ αὐτὸ ἀνακρεόντειον διὰ τὸ πολλῷ καὶ τούτῳ χρήσασθαι τὸν ποιητήν.

sch th-tr nub 1085c μεταξὺ δὲ τούτων ὁ ηʹ καὶ ιβʹ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν τῇ ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος. νικῶ σε τόδε, φαμέν· τὸν αὐτὸν δὴ τρόπον ἐρεῖς καὶ τὸ “ ἣν τοῦτο νικηθῇς ἐμο ῦ ” παθητικῶς.

sch th-tr nub 1089 συνηγοροῦσιν] τοῖς δικαζομένοις. τραγῳδοῦσιν Th 1/2 [ τραγῳδοῦς’ Tr 1/2 ] ] τὰς τραγῳδίας καὶ τὰ Th 1/2 Tr 1 [ τὰ τῶν τραγῳδῶν Tr 2 ] δράματα ὑποκρίνονται.

sch th-tr nub 1091b τοῦτο εἰς Φρύνιχον ἀποτείνει τὸν τραγικὸν χορευτήν, ἐπειδὴ διεβάλλετο ἐπὶ μαλακίᾳ διὰ ποικιλίαν σχημάτων. δημαγωγοῦσι δ’ Th 1/2 Tr 1 [ καὶ δημαγωγοῦς’ Tr 2 ] ] διοικοῦσι τὸν δῆμον.

sch th-tr nub 1096 ὁπότεροι] ὁποῖοι , οἱ Th 1/2 Tr 1 εὐρύπρωκτοι ἢ οὔ. κινούμενοι] συνουσιαζόμενοι.

sch th-tr nub 1103a θοιμάτιον, ὡς] παρατέλευτον τοῦτο. ὡς] ὅτι.

sch th-tr nub 1104 πρὸς ὑμᾶς] πρὸς Tr 2 σὲ τὸν ἄδικον καὶ τοὺς περὶ σέ. 〈1104〉 praeter Cant.

sch th-tr nub 1104bis 2, qui > tantum. τί δῆτ α ; πότερα : ἑτέρα διπλῆ καὶ ἔκθεσις ἀμοιβαία στίχων τριμέτρων ἰαμβικῶν θʹ, ὧν τελευταῖος χώρει νυν.

sch th-tr nub 1105a οἶμαί σοι δὲ ταῦτα μεταμελήσειν, ὃς μόνος ἐστὶ τρίμετρος ὑπερκατάληκτος. τί δῆτ α ; πότερον : σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ηʹ.

sch th-tr nub 1105b ἐν ἐκθέσει δὲ κῶλα βʹ ἰαμβικὰ δίμετρα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ, ἃ καλεῖται, ὡς εἴρηται, ἀνακρεόντεια. ἔχει δὲ τὸ βʹ κῶλον τὸ “ σοὶ ταῦτα μεταμελήσει ν ” τὸν βʹ πόδα τρίβραχυν ἤτοι χορεῖον. ἐπὶ τῷ τέλει παράγραφος. σύστημα κατὰ περικοπήν.

sch th-tr nub 1106 δὴ λέγειν] γρ. “σοὶ” ἢ “τὸ”. στομώσῃς Tr 1 [ στομώσεις Tr 2 ] ] ἡ μεταφορὰ ἀπὸ τῶν μαχαιρῶν.

sch th-tr nub 1108b ἐπὶ μὲν θάτερα] ἤγουν ἐπὶ τὰ ἀριστερὰ μέρη. δικιδίοις] μικραῖς δίκαις.

sch th-tr nub 1111a ἀμέλει] μὴ φρόντιζε. κομιεῖ(ῇ)] λήψῃ.

sch th-tr nub 1111c κομιεῖ] κομιῇ. σοφιστὴν] ῥήτορα.

sch th-tr nub 1113 νυν] δή. ταῦτα] ἃ εἰς ἐμὲ πεποίηκας.

sch th-tr nub 1114bis praeter LhCant.2. παράβασίς ἐστι κἀνταῦθα στίχων τροχαϊκῶν τετραμέτρων ιϛʹ, ὧν τελευταῖος κἂν ἐν Αἰγύπτῳ τυχεῖν ὢν μᾶλλον ἢ κρῖναι κακῶς· πλὴν οὐ πάντα τὰ μέρη τῆς παραβάσεως φέρει, ἀλλὰ μόνον τὸ ἐπίρρημα, ἐν ᾧ συμβουλεύειν ἐστὶν ἔθος τῇ πόλει ὠφέλιμα.

sch th-tr nub 1115b τοὺς κριτὰς ἃ κερδανοῦσιν : κἀνταῦθα παράβασίς ἐστιν. ἔχει δὲ οὐ πάντα τὰ μέρη τῆς παραβάσεως, ἀλλὰ μόνον τὸ ἐπίρρημα, ἐν ᾧ ἔθος ἢ χρηστὰ συμβουλεύειν τῇ πόλει ἢ σκώπτειν τοὺς πονηρούς. τίθενται γὰρ οὐ μόνον τέλειαι παραβάσεις, ἀλλὰ καὶ μέρη τινὰ αὐτῶν. ἔστι δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ παρὸν ἐπίρρημα ἐκ στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν ιϛʹ, ὧν τελευταῖος κἂν ἐν Αἰγύπτῳ τυχεῖν ὢν μᾶλλον ἢ κρῖναι κακῶς. ἐπὶ τῷ τέλει παράγραφος. ἐπίρρημα.

sch th-tr nub 1115d τὸν χορὸν] ἤγουν Th 1 Tr 1/2 τὸ δρᾶμα. ⋇ praeter LhCant.

sch th-tr nub 1115 2. ἐκ τῶν δικαίων] ἤγουν δικαίως.

sch th-tr nub 1116b ὅπως μὴ χάριτι δόξῃ νικᾶν, μηδὲ χάριτι τὴν ψῆφον φέρειν αὐτούς, ἀλλὰ ταῖς ἀληθείαις, προσέθηκε τὸ “ ὠφελεῖν ἐκ τῶν δικαίω ν” . τῇ αἰτιατικῇ δὲ ἐχρήσατο ἀντὶ εὐθείας, ὡς καὶ ἐν Ἀχαρνεῦσι δεινόν γε τὸν κήρυκα τὸν παρὰ τοῖς βροτοῖς δεχόμενον εἰ μηδέποτε νοστήσει. νεοῦν Th 1 (?) Tr 1/2 [ νεᾶν Th 2 ] ] ἀροτριᾶν.

sch th-tr nub 1117b ἐν ὥρᾳ] ἤγουν ἐγκαίρως. ὕσομεν] βρέξομεν.

sch th-tr nub 1118b ὑμῖν] τοῖς κριταῖς. ἀμπέλους] τάς.

sch th-tr nub 1120a πιέζειν] δαμάζειν Tr 2 αὐτάς. ἐπομβρίαν] ἀμφότερα γὰρ χαλεπά.

sch th-tr nub 1121 ἀτιμάσῃ] ἤγουν κακὸν τὸ καθ’ ἡμᾶς δρᾶμα ψηφίσηται. πείσεται] πάθῃ.

sch th-tr nub 1125 παιήσομεν] τύψομεν αὐτάς. γαμῇ] ἤγουν γυναῖκα λαμβάνῃ.

sch th-tr nub 1129 ὕσομεν] βρέξομεν. ἐν Αἰγύπτῳ] ἔνθα οὐδέποτε ὕει , οὐδὲ νεφέλη συνίσταται Tr 1/2.

sch th-tr nub 1130b τελευταῖος τῶν τροχαϊκῶν. praeter LhCant.

sch th-tr nub 1130 2(Lv? fort. periit int.) . ἐπεισόδιον στίχων ἰαμβικῶν τριμέτρων κγʹ, ὧν τελευταῖος πολλῷ γε μᾶλλον, κἂν παρῶσι χίλιοι.

sch th-tr nub 1131b (cf. 1131a) πέμπτη , τετράς , τρίτη : κορωνὶς ἑτέρα ὁμοία ταῖς προρρηθείσαις· οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι κγʹ, ὧν ... χίλιοι. ἐπὶ τῷ τέλει κορωνίς. οἱ Ἀττικοὶ οὕτω διῄρουν τὸν μῆνα λέγοντες· πρώτη ἱσταμένου, δευτέρα ἱσταμένου μέχρι τῶν δέκα· εἶτα μία ἐπὶ δέκα, δύο ἐπὶ δέκα μέχρι τῆς ἐν(ν)εακαιδεκάτης.

sch th-tr nub 1131c ἔλεγον δὲ τὴν μὲν εἰκοστὴν πρώτην εἰκάδα, τὴν δὲ εἰκοστὴν πρώτην δευτέραν εἰκάδα· εἶτα οὐκ ἐχώρουν ἐφεξῆς ἀριθμοῦντες, ἀλλὰ ἀπὸ τῆς εἰκοστῆς ἐν(ν)άτης ἤρχοντο λέγοντες· ἐν(ν)άτη φθίνοντος, δηλοῦντες ἐντεῦθεν τὴν εἰκοστὴν δευτέραν, καὶ ὀγδόη φθίνοντος καὶ ἑβδόμη φθίνοντος καὶ ἕκτη φθίνοντος καὶ πέμπτη φθίνοντος καὶ τετάρτη φθίνοντος καὶ τρίτη φθίνοντος καὶ δευτέρα φθίνοντος, ἤτοι τρίτη, τετάρτη, πέμπτη, ἕκτη, ἑβδόμη, ὀγδόη, ἐν(ν)άτη. (cf.

sch th-tr nub 1131d 1131c) οἱ ... ἐννεακαιδεκάτης (3). τὴν δὲ εἰκοστὴν ἔλεγον μεγάλην εἰκάδα· εἶτα ἀναποδίζοντες τὸν ἀριθμὸν τὴν μὲν εἰκοστὴν πρώτην δεκάτην ἔλεγον φθίνοντος, τὴν δὲ εἰκοστὴν δευτέραν ἐνάτην, τὴν κγʹ ὀγδόην, καὶ καθεξῆς οὕτως τὸ “φθίνοντος” προστιθέντες, ἤγουν ἑβδόμη, ἕκτη, πέμπτη, τετάρτη, τρίτη καὶ δευτέρα ἤτοι κθʹ· εἶτα τὴν λʹ ἕνην καὶ νέαν ἔλεγον, ἐπεὶ ἐν αὐτῇ τέλος τε καὶ ἀρχὴν ὁ ἐκ τῆς σελήνης ἀριθμούμενος μὴν ἔχει. (cf.

sch th-tr nub 1131e 1131c.d) οἱ ... δευτέρα ἱσταμένου καὶ καθεξῆς οὕτως μέχρι τῶν δέκα (c 2)· εἶτα μία ἐπὶ δέκα, δύο ἐπὶ δέκα, τρία ἐπὶ δέκα· τὴν ιεʹ πρώτην φθίνοντος διὰ τὸ ἐντὸς ταύτης συμπληροῦσθαι τὴν αὔξησιν τῆς σελήνης καὶ τὴν μείωσιν αὖθις ἄρχεσθαι. ἔπειτα τὴν ἑξκαιδεκάτην δευτέραν φθίνοντος, τὴν ιζʹ τρίτην φθίνοντος, τὴν ιηʹ τετάρτην φθίνοντος, τὴν ιθʹ πέμπτην φθίνοντος· τὴν δὲ κʹ ἔλεγον μεγάλην εἰκάδα. εἶτα πάλιν τὴν καʹ ἕκτην φθίνοντος, τὴν κβʹ ἑβδόμην φθίνοντος, τὴν κγʹ ὀγδόην φθίνοντος, τὴν κδʹ ἐν(ν)άτην φθίνοντος, τὴν κεʹ δεκάτην φθίνοντος, τὴν κϛʹ ιαʹ φθίνοντος, τὴν κζʹ ιβʹ φθίνοντος, τὴν κηʹ ιγʹ φθίνοντος, τὴν κθʹ ιδʹ φθίνοντος· τὴν δὲ λʹ ἔννην καὶ νέαν ἔλεγον, ἐπεὶ ἐν αὐτῇ ... ἔχει (d6). πέμπτη] κϛʹ.

sch th-tr nub 1131f Th 1 Tr 1/2 [ εἰκοστὴ ἕκτη. Th 2 ] τετρὰς] κζʹ.

sch th-tr nub 1131g Th 1 Tr 1/2 [ εἰκοστὴ ζʹ. Th 2 ] τρίτη] κηʹ.

sch th-tr nub 1131h Th 1 Tr 1/2 [ εἰκοστὴ η′. Th 2 ] δευτέρα] κθ′.

sch th-tr nub 1131i Th 1 Tr 1/2 [ εἰκοστὴ η′. Th 2 ] ⋇ Vat solus.

sch th-tr nub 1132 εἴθ’ ἦν] ἔστιν ἡ λ′. Th 1/2 Tr 1 [ ἡ λ′ ἐστίν. Tr 2 ] βδελύττομαι] μισῶ.

sch th-tr nub 1134a εὐθὺς μετὰ] γάρ. ταύτην] τὴν λ′.

sch th-tr nub 1134c ἔνη Th 1 ἔννη Th 2 [ ἔνη Tr 1/2 ] τε καὶ νέα] ἀρχιμηνία. τις] ἐκείνων.

sch th-tr nub 1136a πρυτανεῖ’] δίκας, ἐκταγάς· Th 1/2 Tr 1 [ πρυτανεῖά φησι τὰς δίκας καὶ τὰς ἐκταγάς. Tr 2 ] αὗται γὰρ εἰς τὸ πρυτανεῖον συνήγοντο· τὸ δὲ ἦν δημόσιόν τι θησαυροφυλάκιον. πρυτανεῖ’] ἤγουν ἐκταγάς.

sch th-tr nub 1137a μέτρια] ὀλίγα. αἰτουμένου] αὐτόν.

sch th-tr nub 1138 τὸ μέν γε Th 1 Tr 1 τοι Th 2 [ τι Tr 2 ] ] τοῦ δανείου. ἀπολήψεσθ’] τὸ δάνειον.

sch th-tr nub 1140b ἀπολήψεσθ’] ἀπολήψεσθαι. δικάσασθαι] ἐγκλητεῦσαι.

sch th-tr nub 1144a εἴσομαι] γνώσομαι. κόψας] κρούσας.

sch th-tr nub 1145a παῖ] δοῦλε. ἠμί] φημί.

sch th-tr nub 1146 τουτονὶ] τὸν θύλακον, ὅς ἐστι μεστὸς ἀλφίτων. ἐπιθαυμάζειν] θαυμαστῶς Th 1/2 Tr 1 [ θαυμαστικῶς Tr 2 ] τιμᾶν καὶ δεξιοῦσθαι.

sch th-tr nub 1149a εἶφ’] εἰπέ. ὅτι Tr 2 τὸ “ἄρτι” μὲν Tr 1 παρ’ Ἀττικοῖς ἀντὶ τοῦ “νῦν” λαμβάνεται, τὸ “ἀρτίως” δὲ ἀντὶ τοῦ “πρὸ ὀλίγου”.

sch th-tr nub 1149c εἰσήγαγες] εἰς ἐπίδειξιν μετὰ τοῦ δικαίου. παμβασίλει’] τοῦτο διὰ μέσου.

sch th-tr nub 1150b ἀπαιόλη] ἀπάτη · παρὰ τὸ ἀπαιολεῖν καὶ κινεῖν καὶ στερεῖν Tr 2. τὸ “ὥστε” πρὸς τὸ “ μεμάθηκε ν ” ἔχει τὴν δύναμιν · τὸ δὲ “ ὦ παμβασίλει α ” διὰ μέσου Tr 1/2 .

sch th-tr nub 1153a πολλῷ γε μᾶλλον] ἀποφύγῃς. χίλιοι] μάρτυρες.

sch th-tr nub 1153c τελευταῖος τῶν τριμέτρων ἰάμβων. praeter Cant.

sch th-tr nub 1153 2 (Lv? fort. evan. int.) βοάσομαι : μέλος καὶ κομμάτιον.

sch th-tr nub 1154a εἴσθεσις διπλῆς κώλων κ′, ὧν πρῶτον “ βοάσομαί γ ’ ἄρα τὰν ὑπέρτονο ν ” χοριαμβικὸς τρίμετρος καταληκτικὸς ἐκ διιάμβου, διτροχαίου καὶ δακτύλου· τὸ β′ “ βοά ν . ἰὼ κλάε τ’ , ὦ ’βολοστάτα ι ” ὅμοιος τρίμετρος· τὸ γ′ “ αὐτοί τε καὶ τἀρχεῖα καὶ τόκοι τόκω ν ” ὅμοιος τρίμετρος ἀκατάληκτος· τὸ δ′ “ οὐδὲν γὰρ ἄν με φλαῦρον ἐργάσησ θ ’ ἔτ ι ” ὅμοιος· τὸ ε′ “ οἷος ἐμοὶ τρέφετα ι ” χοριαμβικὸν πενθημιμερὲς ἐκ χοριάμβου καὶ ἀναπαίστου· τὸ ϛ′ “ τοῖσ δ ’ ἐνὶ δώμασι παῖ ς ” ὅμοιον· τὸ ζ′ “ ἀμφήκει γλώττ ῃ ” χοριαμβικὸν πενθημιμερὲς ἐκ δισπονδείου καὶ συλλαβῆς· τὸ η′ “ λάμπων πρόβολος ἐμό ς ” ἰωνικὸν ἑφθημιμερὲς ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ ἀναπαίστου διὰ τὴν ἀδιάφορον· τὸ θ′ “ σωτὴρ δόμοι ς , ἐχθροῖς ἀνι α ρό ς ” ἰωνικὸς τρίμετρος βραχυκατάληκτος ἐξ ἐπιτρίτου τρίτου [, ἰωνικοῦ ἀπὸ μείζονος καὶ] τροχαίου· τὸ ι′ “ λυσανίας πατρῴων μεγάλων κακῶ ν ” χοριαμβικὸς τετράμετρος καταληκτικὸς ἐκ χοριάμβου ––, ἀντισπάστου καὶ διιάμβου· τὸ ια′ “ ὃν κάλεσον τρέχω ν ” χοριαμβικὸν δίμετρον βραχυκατάληκτον ἐκ χοριάμβου καὶ ἰάμβου· τὸ ιβ′ “ ἔνδοθεν ὡς ἐμ έ ” ὅμοιον· εἰ δὲ βούλει, δακτυλικὸν δίμετρον ἀκατάληκτον· τὸ ιγ′ “ ὦ τέκνο ν , ὦ παῖ πα ῖ ” ὅμοιον χοριαμβικόν· εἰ δὲ βούλει, δακτυλικὸν πενθημιμερές· τὸ ιδ′ “ ἔξελ θ ’ οἴκω ν ” χοριαμβικὸν μονόμετρον ἀκατ[άληκτον] ἐκ δισπονδείου· τὸ ιε′ “ ἄιε σοῦ πατρό ς ” ὅμοιον τῷ ιβ′· τὸ ιϛ′ “ ὅ δ ’ ἐκεῖνος ἀνή ρ ” ἀναπαιστικὸν δίμετρον· τὸ ιζ′ “ ὦ φίλο ς , ὦ φίλο ς ” ὅμοιον τῷ ιβ′· τὸ ιη′ “ ἄπιθ ι σὺ λαβώ ν ” ἀναπαιστικὸν δίμετρον ὅμοιον τῷ ιϛ′· τὸ ιθ′ “ ἰὼ ἰ ώ , τέκνο ν ” ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· τὸ κ′ “ ἰοὺ ἰο ύ ” ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. βοάσομαί γ ’ ἄρα : εἴσθεσις μέλους περιοδικὴ καὶ μερικὴ ἀμοιβαία ἐν ἐκθέσει ἐκ στίχων καὶ κώλων ιη′, ὧν ὁ α′

Eulogikon public reading copy · View original HTML at eulogikon.org

